17 6 *δύστηνον*] *δείλαιον* **eZ** Her. | *γνοὺς* **e** | *χρυσοῦ* Her. || 7 *τοῦ Λευκίππου τοῖς δώροις* transp. **a** Her. | *ἐπέβυεν* **aAcZ** *ἐπέχυεν* **C** | *παρθένος* om. **V** | *Δίκη* om. **aS**G^b || 8 *χρυσῷ* **fC** | *ταλαντεύει* Her.
18 [**a** = **B** **b** = **A** + *η* = **ERML**^{a}**N** **c** = **VS** **d** = **H**G^b **e** = **UY** **f** = **ZTCF**] 1 *ἐρωτύλος* **a** *η* (non **N**) **dYT** *ἐρωτύλλος* **AF** *ἐρωτύλης* **U** *ἐρωτύλῳ* **cC** *ὑψιπύλη* **Z** | *ὑψιπύλῃ* **ab** (non **N**) **deT** *ὑψιπύλῳ* **F** *ὑψιπύλη* **cC** *ῥωτίλῳ* **Z** | inscr. om. **N** || 2 *ὀργῶσι*] *ἐρῶσι* **H** || 3 *τῆς ἐρωμένης* **He** *τὴν ἐρωμένην* **abc**G^b**fCF** Her. Boiss. | *περιπλέκει* Her. || 4 *καὶ* om. **VT** | *ἔνεστι*] *ἐστι* **b** Her. | post *θηλείας* add. *οἱ φυτουργοῦντες* **U** Her. Boiss. || 5 ante *σοφίσματι* add. *τῷ* **U** Her. Boiss. | *τούτου τὸν* **He TF** *τὸν τούτου* **abc**G^b**ZC** || 6 *οἵα* **aHU** *οἷος* **bc**G^b**YfCF** || 7 *πίναξ* **d** | *φαντασίαν* **defF** *φαντασίας* **abcC** || 8 *παρέχεται* **a** | *θέαν* *η*
19 [**a** = **B** **b** = **A** + *η* = **ERML**^{a} **c** = **VS** **d** = **H**G^b **e** = **UY** **f** = **ZOTQ CF**] 1 inscr. om. **Q** | post inscr. add. *πρὸς φιλάργυρον* **O** || 2 *χρημάτων δεσπότην* transp. **UO** || 3 *τὴν* om. **aO** | *προηνέγκαντο* **Vf** *προήνεγκαν* **abdCF** *προσηνέγκαντο* **SY** *εἰσηνέγκαντο* **U** Her. Boiss. (cf. Hist. I 1, 12) || 4 *ἀνοσίους* *η***dUTCF** *ἀνοσίας* **aAcYZOQ** | *τὴν γῆν* om. **e**

καὶ τὸν χρυσὸν περιφρούρει, τρισάθλιε· οὐ γὰρ σός, ἀλλὰ παρὰ σοὶ ὁ πλοῦτος εἶναι πεπίστευται. τοῦ Φρυγὸς γὰρ Μίδου τὴν κακίαν ζηλώσας λιμώττων πλουτεῖς, βρόχοις ὥσπερ χρυσοῖς ἀπαγχόμενος.

20. *Χλοάζων Μήκωνι*

Ἀχράδας χθές, Μήκων, πέπομφα τῇ ποθουμένῃ· ἡ δὲ τὴν κρόκην ἀπέρριψε καὶ τῆς ἱστουργίας εὐθὺς ἐξανίστατο, καὶ λαβοῦσα τὰ δῶρα τοῖς χοίροις διένειμε, καὶ τὸν πρέσβιν ὡς ἀπαίσιον ἄγγελον ἀπεπέμψατο. ἐγὼ δὲ κλάω· φοβερὸς γὰρ ὁ ἔρως ἡμᾶς ἀδικῶν, ἀπρεποῦς κόρης ἐρᾶν βιαζόμενος. τυφλώττουσι Τύχη καὶ Ἔρωτες, οἱ μὲν τὰς ἀλγηδόνας, ἡ δὲ τὴν εὐδαιμονίαν εἰκῇ καὶ ὡς ἔτυχε παρεχομένη.

21. *Περδικία Ῥοδόπῃ*

Ἄιδεις ἀμούσως καὶ λυπεῖς, οὐ τέρπεις, τοὺς ἐραστάς· τραγῳδίαν γὰρ ἀναμινύρῃ, οὐ θελκτήριον ᾠδὴν τοῖς ἀκούουσι. καὶ δακρύουσιν οἱ ἐρασταὶ ἀνιώμενοι· σώφρονας γὰρ αὐτοὺς ἀντὶ λάγνων τὰ σὰ διδάσκουσιν ᾄσματα· οὐ γὰρ ἐπαγωγὸν τὴν μελῳδίαν πεποίησαι. φεῖσαι τοίνυν, πρὸς θεῶν, ἀνιωμένων ἡμῶν· οὐ γὰρ αὐλητρίς, ἀλλὰ θρηνήτρια τοῖς θεαταῖς εἶναι δοκεῖς. καὶ κηρῷ τὰ ὦτα πάντες ἐμφράξαιμεν, εἰ μελῳδίαν ἀσκήσειας· Σειρήνων γὰρ μᾶλλον ἢ Μουσῶν ὀδυρομένων ἀκούσαιμεν.

19 6–7 cf. Ov. Metam. XI 127–129 || **21** 2 cf. Aristaen. Ep. I 27 (p. 61, 21–22 Mazal); Plat. Hipp. maior 292 C || 6 cf. Alciphr. Ep. IV 9, 5

19 5–6 *ἀλλὰ — πεπίστευται*] *ὁ πλοῦτος εἶναι πιστεύεται ἀλλὰ παρὰ σοί* **a** || 6 *εἶναι* om. **UO** | *μέδου* **Z** *γίγου* **S** *Μίδα* **Q** Her. || 7 *ἀμπεχόμενος* **OC**
20 [**a** = **B** **b** = **A** + *η* = **ERML^{a}N** **c** = **VS** **d** = **HG^b** **e** = **U** **f** = **Z** **CF**] inscr. tantum, non textum exhibet **T** || 1 *μίκωνι* **aV** | inscr. om. **N** || 2 *μίκων* **aV** | *πέπομφας* **a** | *κρόκκην* **a** *κέρκην* **V** || 4 *πρέσβυν* **e** | *ἀπεπέμπετο* **fF** || 5 *ὁ* **aHef** om. **bcG^{b}CF** Her. | *ἀδικεῖ* *η* | post *ἀπρεποῦς* add. *γὰρ* **H** | *βιαζόμενος ἐρᾶν* transp. **e** Boiss. | *ἐρᾶν* om. **bcC** | *ἐκβιάζεται* **dF** || 6 post *τυφλώττουσι* add. *ἄρα* **H**, *γὰρ* **G^b** | *ἀλγηδόνας*] *ἡδονὰς* **f** || 7 *εἰκῇ καὶ* om. **H** | *παρεχόμενοι* Nissen
21 [**a** = **B** **b** = **A** + *η* = **ERML^a** **c** = **VS** **d** = **HG^b** **e** = **U** **f** = **ZT** **CF**] 1 *περδικία* **cHeTC** *περδίκκα* **ab** *περδικίας* **F** *περδίκας* **G^b** *Περδίκκας* Boiss. *Περικλῆς* Her. om. **Z** | *ῥοδότῃ* **V** || 3 *ἀναμινύρῃ* **aSG^{b}fC** *ἀναμιννύρῃ* **H** *ἀναμινυρίζῃ* **F** *ἀναμίρῃ* **V** *ἀναμιγνύεις* **b** *ἀναμηνύεις* **e** | *θέλκτριον* **b** || 6 *θεαταῖς*] *ἐρασταῖς* **Z** Her. || 7 *καὶ*] *ἢ* **Z** om. **e** | *ἐμφράξαιμεν* **deF** *ἐμφράξομεν* **a** Her. Boiss. *ἐμφράξοιμεν* **AfC** *ἐμφράζοιμεν* *η* *ἐκφράξοιμεν* **c** || 8 ante *Σειρήνων* add. *οὐ* **H**, *ἀντὶ γὰρ* **S** | *γὰρ* om. **S** | *μᾶλλον* **deF** om. **abefC** Her. Boiss. | *ἢ* om. **cfC** | *ἀκούσαιμεν* **bdeF** *ἀκούσομεν* **aVT** Boiss. *ἀκούσωμεν* **C** *ἀκούομεν* **SZ** Her.

22. Ἀντισθένης Περικλεῖ

Ὁ Φιλίππου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς εὐτυχίαις οὐδαμῶς ἐτετύφωτο, ἀλλ' ἐφιλοσόφει τὰ τῆς τύχης φυσήματα μεγίσταις εὐφημίαις οὐκ εἰωθὼς δελεάζεσθαι. διά τοι τοῦτο ἐν τῇ τοῦ πολέμου ῥοπῇ θεασάμενος πεπτωκότα Δαρεῖον τῇ χλαμύδι τὸν ἐχθρὸν περιέσκεπεν, ἀρετῆς καὶ τύχης ἐνδεικνύμενος τὴν εὐγένειαν. ἐντεῦθεν ἐλοιδόρει τὸν Ἀλέξανδρον τὸ ὑπήκοον, καὶ ἦν ἔγκλημα τῷ βασιλεῖ ἡ εὐσέβεια. ὁ μὲν οὖν Ἀλέξανδρος ἅτε δὴ φιλόσοφος ὢν ἐδεδοίκει τὸ τῆς τύχης, ὡς ἔοικεν, ἄδηλον· διὸ καὶ πλείστων αὐτῷ ἀγγελθέντων ὑφ' ἓν εὐτυχημάτων ἔφη· 'ὦ Ζεῦ, μῖξόν τι τοῖς ἀγαθοῖς καὶ δυστύχημα'. οὕτως εὐλαβεῖτο τὰς εἰς ἄκρον εὐεξίας ἐμφρονέστατα ὁ Ἀλέξανδρος. εἰ μὲν οὖν γειτνιῶσαν ταῖς τροπαῖς τὴν φύσιν ἠγνόησας, μετ' οὐ πολὺ τὴν πεῖραν ὄψει διδάσκαλον, καὶ τῆς γνώσεως ἕξεις πρεσβύτερα τὰ μαθήματα· εἰ δὲ τυφλώττεις ἑκών, χαλεπωτέρας τῆς ποινῆς ἐπιτεύξῃ πλημμελημάτων καὶ γνώσεως εἰσπραττόμενος δίκας.

23. Ἀσταχύων Μύλωνι

Τὸν ἀγρὸν τοῦ κωνείου ἐκκάθαρον· τὰς ἐμὰς γὰρ ἐλυμήνω μελίττας. μὴ πάρεχε, πρὸς θεῶν, πράγματα ἀνδρὶ γεωργῷ. οὐδὲν κηφήνων ἡμῖν διενήνοχας. τί δῆτα χαλεπαίνεις ἀλόγως τῷ γείτονι; εἰ μὴ τῆς κακίας ἀποσταίης, παμπόνηρε, τὴν σὴν ἀκολασίαν ταῖς ἐμαῖς ἐπιγράψαιμι θύραις, καὶ τοῖς ἀγρογείτοσι τὴν ἀδικίαν ἐνδείξαιμι, ἵνα σε πάντες ὥσπερ τι κακὸν δυσάντητον ἀποφεύξωνται.

22 2 cf. Strabo XV 1, 5 || 4 cf. Isocr. Panath. 50 || 4–5 cf. Plut. Alex. 43, 5; De Alex. fort. I 11 (332 F) || 8–10 cf. Plut. Consol. Apoll. 6 (105 A–B); Regum apophth. 177 C || 10 cf. Hist. II 17, 12 et VII 6, 3; Plut. Non posse suav. vivi 5 (1090 C); Quaest. conviv. 682 E || **23** 3–4 cf. Hist. II 15, 5 et III 17, 9 || 6–7 cf. Luc. Timon 5

22 [**a** = **B** **b** = **A** + **η** = **ERML**ᵃ **c** = **VS** **d** = **HG**ᵇ **e** = **YK** **f** = **ZOTQ** **CF**] 1 *Περικλεῖ* om. **Q** | post inscr. add. *πρὸς ἐπαιρόμενον ἐν εὐημερίᾳ* **O** || 2 *τοῦ Φιλίππου* Her. || 3 *τὰ*] *τῷ* **a** | *φυσήματι* **a** | *μεγίσταις* –4 *δελεάζεσθαι* om. **K** | *εὐφημίαις*] *εὐτυχίαις* **H** || 4 post *τοῦτο* add. *καὶ* **V** Her. | *τοῦ* om. **aQ** || 5 *τὸν Δαρεῖον* Her. || 6 *τὴν* om. **b** | *εὐγένειαν* **bdKTQ** *εὐμένειαν* **aSYZOCF** Her. Boiss. *εὐσθένειαν* **V** || 7 *εὐσέβεια*] *εὐμένεια* **Z** Her. || 9 *ἀγγελθέντων*] *ἐπελθόντων* Her. | *ὑφ' ἓν* om. **aT** Her. | *τῶν εὐτυχημάτων* **SZ** Her. || 12 *φύσιν*] *τύχην* **HG**ᵇˢˡ**ZF** Her. | *ἠγνόηκας* Her. || 13 *παθήματα* **G**ᵇ**eZOC** Her. || 14 *χαλεπώτερα* **a** | *καὶ*] *τῆς* **a** | *γνώσεως*] *ἀγνωσίας* Her. Boissonadio auctore (cf. Boiss. 252) || 15 *δίκας* ante *πλημμελημάτων* transp. **a**

23 [**a** = **B** **b** = **A** + **η** = **ERML**ᵃ **c** = **VS** **d** = **HG**ᵇ **e** = **U** **f** = **ZT** **CF**] 1 *ἀσταχίων* **a** | *μύλωνι* **VHe** *Μήλωνι* **aACF** Her. Boiss. *μίλωνι* **ηSG**ᵇ *μήκωνι* **T** | inscr. om. **Z** || 2 *ἐκάθαρον* **c** *ἐκκάθαρε* **b** *ἐκκάθαιρε* Her. fortasse *ἐκκάθαραι* scribendum (cf. ep. 28, 4) | *ἐλυμήνατο* **ZF** Her. || 3 post *οὐδὲν* add. *γὰρ* **d** || 4 post *μὴ* add. *γὰρ καὶ* **a**, *γὰρ* **C**, *καὶ* **S** || 5 *ἐμαῖς*] *σαῖς* **F** | *περιγράψαιμι* **Z** || 6 *γείτοσι* **b** | *ἐνδείξομαι* **a** *ἐνδείκνυμι* **C** || 7 *ὥσπερ τι*] *ὥς τι περ* **SC** | *ἀποφεύξωνται* **cdeZF** *ἀποφεύξονται* **TC** *ὑποφεύξονται* **a** *ἀποφεύξαιντο* **b**

24. *Τελέσιλλα Λαΐδι*

Οὔτε φλέβα χρυσοῦ μεταλλουργοὶ ἀνιχνεύοντες οὔτε φρεωρύχοι τὰ τῆς γῆς ἐρεβοδιφῶντες ἀπόρρητα, ὀφθαλμοὺς ὑδάτων ἀναζητοῦντες θεάσασθαι, οὕτω περὶ τὴν ἑαυτῶν ἐσπουδάκασι τέχνην, ὡς ἐγὼ τὴν πόλιν ἐσκινδαλάμιζον ἅπασαν, εἴ που τὸν Ἀγησίλαον ἦν μοι θεάσασθαι. πότον γὰρ αὐτῷ πεποιηκέναι τὴν μαινάδα Λευκίππην ἀκήκοα, καὶ ῥαγδαῖος σκηπτὸς ἡμῖν ἐνεδήμησε, καὶ τὸ πάθος ἀπαρηγόρητα φλεγμαίνει μοι δάκρυα. διὸ τῆς τραγῳδίας συνέριθος ἔσομαι· οὐ γὰρ ἀνίσχοντα λοιπὸν τὸν ἥλιον θεασόμεθα. οὕτω καὶ Μηδείας καὶ Φαίδρας φοβερωτέρα γενήσομαι.

25. *Σωσίπατρος Ἀξιόχῳ*

Τὸν ἀδελφὸν ἔναγχός σε θάψαι φασί, καὶ λίαν ἐπὶ τῷ πάθει ἀπαρηγόρητα δυσφορεῖν. καὶ πῶς σε φιλόσοφον ἄνδρα θαυμάσαιμι ὑπὸ πάθους ἐπὶ τοσοῦτον νικώμενον; ὕπνος τίς ἐστιν ὁ παρ' ἡμῖν περιθρυλλούμενος θάνατος, τοῦ μὲν συνήθους τούτου μακρότερος, πρὸς δὲ τὴν μέλλουσαν ἡμέραν βραχύτατος. ἐπὶ μακρὰν ἀποδημίαν οἱ τεθνηκότες ἐστάλησαν· οὐκ ἐπὶ πολὺ τούτων ἡμῖν ὁ χωρισμός· καρτέρησον τὴν διάζευξιν ἀναμένων αὖθις τὴν ἕνωσιν. μὴ πάθῃς τι φιλοσωμάτου ψυχῆς, ἐπεὶ καὶ Πλωτῖνος ἐῴκει αἰσχυνομένῳ ὅτιπερ ἐν σώματι ἦν· οὕτως ἐλύπει τὸν

24 2 cf. Quaest. phys. 12, 10–11 || 2–3 cf. Hist. II 7, 6 || 4–5 cf. Men. Misum. 273–274 || 6–7 cf. Men. Scutum 402–403 || 8–10 cf. Eur. Med. 1327 || **25** 4–6 Hist. III 13, 5; cf. Iohannes Chrys. Homil. de statuis V 3 (PG 49, 73) || 6 cf. Hist. I 1, 13; Plat. Phaedo 61 E || 8 cf. Hist. III 13, 5 || 9 cf. Hist. VII 16, 3; Porphyr. Vita Plot. 1

24 [**a** = **B** **b** = **A** + *η* = **ERML**[a]**N** **c** = **S** **d** = **HG**[b] **e** = **U** **f** = **ZT CF**] 1 *τελέσιλλα* **b** (non **N**) **HZF** *τελεσιλλῶ* **cC** *τελεσιλῶ* **e** *τελεσία* **G**[b] om. **a** | inscr. om. **NT** || 2 *φλέβαν* **A** *φλέβας* *η***c** || 3 *ἐρεβοδιφοῦντες* Nissen (cf. Hist. II 7, 6; VI 5, 3) || 4–5 *τὴν*[2] – *ἅπασαν*] *περὶ τὴν πόλιν ἀπῄειν* **a** *τὴν πόλιν μενσκίνδαλαν μειζόνως ἀπείην* **C** *πρὸς τὴν πόλιν μεσκίνδαλαν συντόμως ἀπῄειν* **F** || 5 *ἐσκινδαλάβιζον* **b** | *ἅπασαν*] /// **S** | *ἀγησίλαον* *η***cdeF** *ἀγίλαον* **aC** *ἀγήλαον* **A** *αἰγίλαον* **T** *ἀλήλαον* **Z** | *μοι* **cHeCF** *με* **abG**[b]**f** | *πότον* **aHeT** *ποτὸν* **bcG**[b]**ZCF** || 6 *πεποιηκέναι* om. **Z** Her. | post *Λευκίππην* add. *ἡτοιμακέναι* **Z** Her. || 7 *ἐπεδήμησε* *η***Z** || 8 *ἔσομαι* **abcT** *ἔσο μοι* **deZCF** || 9 *τὸν* om. **b** | *θεάσομαι* **aeC** | *φοβερώτερος* **ZC**

25 [**a** = **P** (a 15]*λαις γὰρ κηλῖσιν*) **B** **b** = **A** + *η* = **ERML**[a] **c** = **VS** **d** = **HG**[b] **e** = **YI** **f** = **ZOTQ CF**] 1 *ἀντιόχῳ* **af** | post inscr. add. *παραμυθητικός* **O** || 3–4 *ἐπὶ τοσοῦτον ὑπὸ τοῦ πάθους ὑπερνικώμενον* **b** Boiss. || 3.4 *ἐπὶ τοσοῦτον*] *τοσοῦτον* **V** *τοσούτου* **aS** || 4 post *ὕπνος* add. *γάρ* **b** Boiss. | *περιθρυλλούμενος* **cHOTQCF** *περιθρυλούμενος* Her. *θρυλλούμενος* **abG**[b]**eZ** || 6 *βραχύτατος* **bcG**[b]**ZCF** *βραχύτερος* **aHeOQ** *βραχύτερον* **T** | ante *ἐπὶ* add. *οὐκ* **H** | *μικρὰν* **bSZQ** Nissen || 7 *ἀνάμεινον* **Q** Her. Boiss. || 9 *ἐῴκει*] *ἐδόκει* **bC** | *ὅτι ἐν σώματι εἴη* *η* Her. Boiss.

φιλόσοφον τὸ θνητὸν τουτὶ περισκήνιον. στῆσόν μοι μέχρι τούτου τὸ δάκρυον, ὅρους νομοθέτει τῇ λύπῃ, φρονήσει τὸ πάθος θεράπευσον, ἰατρὸς γίνου σαυτοῦ· ἔχεις λόγον τὸ φάρμακον

νηπενθές ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

οὐκ ἐκ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον ὁ δημιουργὸς παράγει ποτὲ τὰ ποιήματα. τοῖς θνητοῖς τὰ θνητὰ καταλείψωμεν· μεγάλαις γὰρ κηλῖσιν ἐνθάδε τὸ βασιλικὸν τῆς ψυχῆς καταστίζεται. ἐγὼ τὴν γένεσιν ἢ τὸν θάνατον μᾶλλον δακρύσαιμι· τὸ μὲν γὰρ δακρύων ἀρχή, τὸ δὲ τῶν ἀνιώντων κατάλυσις. ἄγνοια περιδεεῖς ἡμᾶς ἀπεργάζεται, καὶ θάνατον εὐλαβούμεθα οὐχ ὅτι κακόν, ἀλλ' ὅτι τοῖς ἀνθρώποις ἠγνόηται· οὗ γάρ τις τὴν γνῶσιν ἀφῄρηται, τούτου κατηγορεῖ προχειρότατα. μὴ γένοιο τοίνυν τῇ Νιόβῃ ἐφάμιλλος, ἵνα μή που δόξῃς καὐτὸς λίθῳ τὴν ἀνθρωπείαν φύσιν ἀμείβεσθαι.

26. Κεκροπὶς Δεξικράτει

Τὴν Μαγνῆτιν λίθον ἐρᾶν τοῦ σιδήρου φασί, καὶ τοσοῦτον ζῆν ἱστοροῦσι τὴν λίθον, ὅσον τῷ ἐρωμένῳ καὶ σύνεστιν. ὁπηνίκα γὰρ ἡ λίθος τοῦ ὁμοζύγου χωρίζεται, παραυτίκα νεκροῦται καὶ τὴν ἑαυτῆς ἐνέργειαν ἀποτίθεται. αἱ τοιαῦται προσπάθειαι, Δεξίκρατες, καὶ τοῖς ἀψύχοις ἐγγίνονται. ἐγὼ δὲ τί ἂν πάθοιμι, φίλτατε, ἐπὶ τοσοῦτον ἀπολιμπανομένη τῆς σῆς ἐνδημίας; οἶμαι καὶ τὸ φράσαι τοῦ παθεῖν χαλεπώτερον. οὕτω λυπήσαιμι τοὺς λυπήσαντας καὶ βέλος γενοίμην τοῖς ἐρῶσι· σπινθὴρ γὰρ ἀφροδίσιος αἰθάλης καὶ φλογὸς φλογωδέστερος.

25 13 Hom. Od. IV 221 (laudatur etiam in Hist. II 11, 7) ‖ 15 cf. Antiphanes fr. 289 Kock; Eur. Alc. 799 ‖ 16–17 cf. Eur. fr. 449 Nauck ‖ 17–18 cf. Diphilus fr. 88 Kock ‖ 18–19 cf. Eur. fr. 816 Nauck ‖ **26** 2–6 cf. Quaest. phys. 17, 14–18, 3; Achill. Tat. I 17, 2; Gregor. Naz. Carm. moral. I 244–246 (PG 37, 541 A)

25 10 *τουτὶ* **VHF** *τοῦτο* **abSG^{b}efC** Boiss. ‖ 12 *γίνου* **bcC** *γενοῦ* **adefF** Her. Boiss. | *σεαυτοῦ* Her. *σαυτῷ* **ηVH** | *λόγον* **bVHeZO** *λόγου* **aSG^{b}TQCF** Boiss. ‖ 13 *ἐπίληθον* **bSdeT** *ἐπίληθες* **aVOF** Boiss. *ἐπὶ λήθην* **C** *ἐπίληστον* **ZQ** ‖ 14 *τοῦ* om. **η** | *ἐπὶ τὸ χεῖρον* post *ποιήματα* transp. **O**, post *δημιουργὸς* transp. **ZQ** Her. | *ὁ δημιουργὸς* post *ποτὲ* transp. **η** Boiss. ‖ 15 *καταλείψωμεν* **bVS^{pc}dYTQCF** *καταλείψομεν* **S^{ac}I** Her. *καταλήψομεν* **O** *καταλείψαμεν* **Z** *καταλείψωμαι* **a** ‖ 16–17 *ἢ τὸν θ. μ.* **bf** *μ. ἢ τὸν θ.* **acdeCF** ‖ 18 ante *ἄγνοια* add. *καὶ* **aSC** ‖ 19 *οὐχ*] *οὐ γὰρ* **e** ‖ 21 *που δόξῃς*] *σπουδάσῃς* **Z** *σπουδάξῃς* **O** | *καὶ αὐτὸς* **SHOT** Boiss. *αὐτὸς* **ZF**

26 [**a = P b = A + η = ERML^{a}N c = VS d = HG^{b} e = YI f = Z CF**] 1 *Δεξικράτει*] *χρυσηίδι* **a** *χρυσήιδι* **A** *χρυσίδῃ* **C** *χρύσῃς* **I** *δεξικράτης* **I^{sl}** | inscr. om. **N** ‖ 2 *τοσοῦτον* **a** *τοσοῦτο* **H** *τοσούτῳ* **G^{b}** *τοῦτο* **bY^{ac}F** *τούτῳ* **cY^{pc}IfC** ‖ 3 *ὅσον*] *ὅσῳ* **G^{b}** *εἰ* **f** | *καὶ* om. **G^{b}fC** ‖ 5 *αἱ* om. **bdYf** Her. Boiss. | *Δεξίκρατες*] *χρυσίδη* **C** om. **a** ‖ 6 *ἀπολιπομένη* **f** ‖ 7 *καὶ* **a** om. **bcdefCF** ‖ 8 *βέλος*] *γέλως* **e** | *Ἔρωσι* Nissen | *γὰρ* **VHe** om. **abSG^{b}fCF** Her. Boiss. ‖ 9 *αἰθάλης καὶ φ.* **H** *θαλάττης φ.* **acefC** Boiss. Nissen *θαλάττης καὶ φ.* **G^{b}** *καὶ θαλάττης φ.* **F** *θαλάττης* **b** *Αἰτναίας φ.* Her. *Θετταλῆς φ.* Bernhardy

27. *Θερίστρων Σπείρωνι*

Ἐπὶ τὴν Αἴτνην, τὸ Σικελικὸν ὄρος, ἀπαίρομεν εἰπόντες χαίρειν τῇ Ἀττικῇ. οὔποτε γὰρ δυστυχεστέραν γῆν πρὸς ἐπίδοσιν καρπῶν ἑωράκαμεν· ἀντὶ πυρῶν μυρρίνας, ἀντὶ κριθῶν κιττὸν ἡμῖν ἀπεκύησεν. ἡ δὲ σιπύη κενή, καὶ ἡ ἅλως λιμοῦ μοι πεπλήρωται. διά τοι τοῦτο τῶν πρώτων μοι μὴ ἐκφυέντων σπερμάτων οὐκ ἂν αὖθις τῇ ἀγνώμονι καταβάλοιμι. οὐ δύναται γεωργὸς καὶ λιμὸν καὶ στρατιώτην ἔχειν πολέμιον, οὔτε δὲ πλωτῆρες οἷοί τέ εἰσι πνεύμασιν ἅμα καὶ κεραυνοῖς ἀντιμάχεσθαι.

28. *Ἡρακλείδης Ἀντισθένει*

Οὔπω μοι τῆς ὀργῆς ὑφῆκας, Ἀντίσθενες, ἀλλ' ἔτι χαλεπαίνεις ἡμῖν, καὶ κρύπτεις τὴν ἀνίαν προσηνῶν ῥημάτων προσχήματι, ὥσπερ οἱ ἐν αἰθάλῃ σπινθῆρα πυρὸς ταμιεύοντες. ἐκκάθαραι λοιπὸν τῆς καρδίας τὴν λύπην· τοῦτο γὰρ οἱ ἡμέτεροι λόγοι πρεσβεύονται. εἰ δὲ μή, καὶ θαλάττης ἀπηνέστερος ἔσῃ· κατευνάζει γὰρ ἐκείνη τὸ ἄγριον καὶ παρέχεται τοῖς πλωτῆρσιν ὄψιν φιλάνθρωπον, ὁπηνίκα τῷ ἐλαίῳ φιλοφρονοῦνται ἄγαν τοῖς κύμασι χαλεπαίνουσαν.

27 3–4 cf. Men. Dysc. 604–606 || 4 cf. Men. Georgus 36 || 5–6 cf. Ov. Ep. ex Ponto I 5, 33–34 || **28** Pars prior huius epistolae (ll. 2–5) inserta est ut exemplum 87 in [Lib.] Charact. epist. (IX 45 Förster) || 2 cf. [Lib.] Ep. ad Basil. 7 (XI 581 Förster) || 6–8 cf. Quaest. phys. 22, 17–23, 9; Plut. Quaest. nat. 12 (914 F–915 B); Arist. Problem. ined. III 29. 47; Psellus De omnif. doctr. 169

27 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a] **c** = **VS** **d** = **HG**[b] **e** = **U** **f** = **Z** **CF**] 1 *θεριστίων* **e** | inscr. om. **f** || 3 *οὐπώποτε* **bF** Her. Boiss. *οὔπω* **e** | *ἑωράκαμεν καρπῶν* transp. **a** || 4 *μυρρίνας* **abSG**[b] *μυρσίνας* **He** *μυρίνας* **VfCF** | *κιττοὺς* **f** *βάτον* **V** || 4–5 *ἡ – κενή* om. *η* || 5 *μοι* om. **aef** Her. || 6 post *αὖθις* add. *ἑτέρᾳ* **H** | post *ἀγνώμονι* add. *ἑτέρᾳ* **f** Her. | *καταβάλλοιμι* **bG**[b]**e** || 7 post *δύναται* add. *γὰρ* **ae** Boiss. | *καὶ*[1] om. **b** | *καὶ*[2] om. **a** | *οὔτε δὲ* **abcG**[b]**C** *οὔτε γὰρ* **F** *οὐδὲ* **f** *οὐ γὰρ δὴ καὶ* **H** *ὥσπερ οὐδὲ* **e** Her. Boiss. || 8 *ἅμα* om. **fC** | *κεραυνῷ* **e**

28 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a] **c** = **VS** **d** = **HG**[b] **e** = **U** **f** = **ZOTQ** **CF**] 1 post inscr. add. *πρὸς ὀργιζόμενον* **O** || 2 *μοι*] *με* **a** Her. om. **e** | *ὑφῆκας* **bH** *ἀφῆκας* **acG**[b]**efCF** Her. (cf. [Lib.] Ep. ad Basil. 7 = XI 581 Förster) || 3 *προσηνῶν – προσχήματι* om. **S** || 4 *σπινθῆρα* om. **a** | *πυρὸς ταμιεύοντες*] *προσταμιεύοντες* **VC** | post *ταμιεύοντες* add. *προστῆρα· ὥσπερ οἱ ἐν αἰθάλῃ σπινθῆρα προσταμιεύοντες* **a** | *ἐκκάθαραι* **HeT** *ἐκκάθαρε* **abSZQC** *ἐκκάθαρον* **VG**[b]**OF** Boiss. *ἐκκάθαιρε* Her. | *λοιπὸν* om. **e** || 4–5 *τῆς καρδίας* post *λύπην* transp. **a** || 5 *λύπην* **acdTCF** *λύμην* **beZOQ** Her. | *πρεσβεύουσι* **ZT** | *τῆς θαλάττης* **Ve** Boiss. || 7 *φιλοφρονῶνται* **Q** *φιλοφρονεῖται* **C** *φιλοφρονῆσαι ταύτην θελήσαιεν* **Z** || 8 *χαλεπαίνουσα* **OC**

29. *Λαχάνων Πηγάνωνι*

Ἧκέ μοι πρὸς τοὔλαιον αὔριον· ἐκδημήσαιμι γὰρ τοῦ ἄστεος καὶ δαιτυμὼν ἔσομαι, φίλτατε. Νύμφαις γὰρ καὶ τῷ Πανὶ τοῦ ποιμνίου τὰς ἀπαρχὰς ἀναθήσαιμι. εὐνοοῦσι γὰρ ἡμῖν ὀψέ ποτε οἱ θεοί· τὰ κισσύβια πεπλήρωταί μοι τοῦ γάλακτος, αἱ ἄρνες εὐγόνως τετόκασι, περισκιρτῶσιν αἱ αἶγες ἐπὶ ταῖς εὐτυχίαις ὥσπερ γηθόμεναι. πεπαύμεθα πενίᾳ μαχόμενοι, δυσνουθετήτῳ θηρίῳ καὶ δυσκόλῳ· δίκην ἕλκους τοῖς κεκτημένοις ἐμπλέκεται καὶ φιλοσύνηθές ἐστι κακόν, ῥαθυμοποιόν, κατηφές, πρὸς λύπην ἀπαρηγόρητον, πρὸς ἀνίαν ὀξύρροπον, ἄγρυπνον, φιλομέριμνον, ἐπίμοχθον, κακῶν ἐφευρετικόν, ἄδοξον, εὐκαταφρόνητον, ἀνεπίφθονον. οὐ γάρ τις ἐθέλει τηλικούτῳ κακῷ συναντᾶν, οὐδὲ εἰ τὴν Ὀρέστου μανίαν κατακριθείη νοσεῖν. ῥίψαντες οὖν τὰ τῆς πενίας τῇ πενίᾳ ἐφ' ἑτέραν μεταστησώμεθα λῆξιν, μετὰ τῆς τύχης ἀμείψαντες καὶ τὸ φρόνημα.

30. *Ῥοδίνη Καλλιόπῃ*

Ἐπὶ τῶν ἐραστῶν διασύρεις καὶ σκώπτεις ἡμᾶς τὸ καὶ τό, κεχαυνῶσθαί μοι τὸ σύντονον καὶ σφριγῶν τοῦ σώματος διαπαίζουσα. σὺ δὲ τὴν σὴν πανουργίαν κεκρύφθαι δοκεῖς· ἀτελεσφόρητα γὰρ τὰ κυοφορούμενα ἀποπατεῖς ἡ παμμίαρος, καὶ τὰς ἀμβλώσεις ἢ τοὺς τοκετοὺς αἱρετωτέρας πεποίησαι, δριμυτέροις φαρμάκοις τὰ ζωογονούμενα ἐν τῇ σῇ γαστρὶ περιπνίγουσα, καὶ τῆς Κολχικῆς Μηδείας ἀπηνεστέρους ἀπεργάζῃ τοὺς

29 2 cf. Men. fr. 700 Koerte || 6–7 cf. Men. Georgus 77–78 || 7 cf. Aristoph. Plut. 442–443 || 9–10 cf. Men. fr. 597 Kock || 10 cf. Men. Georgus 129 || 13 cf. Alciphr. Ep. II 10, 3

29 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a] **c** = **VS** **d** = **HG**[b] **f** = **Z CF**] 1 *λαχανὼν* **VC** | *πηγανῶνι* **aVC** *πηγάνῳ* **S** | inscr. om. **f** || 2 *πρὸς τοὔλαιον*] *πρὸς τοῦ λαοῦ* **SC** *πρὸ τοῦ λαοῦ* **a** | post *αὔριον* add. *ἧκέ μοι πρὸς τὸ ὕλεον* **a** | *ἐνδημήσαιμι* **bG**[b]**CF** || 3 *ἔσομαι* **abC** *ἔσο μοι* **cdfF** Her. || 3–4 *τὰς ἀπαρχὰς τοῦ ποιμνίου* transp. **b** || 4 *ἀναθήκαιμι* *η* Her. | *ὀψέ ποτε ἡμῖν* transp. **CF** || 5 *ἄρνες*] *οἷς* Her. | *εὐγόνως* **bdF** *εὐώνως* **c** *εὐόνως* **f** *εὐκόμως* **a** *εὐωδίνως* **C** || 7 ante *δίκην* add. *ἢ* **f** Her. | *ἕλικος* **H** || 8 *συμπλέκεται* **Sf** Her. | *καὶ* om. **bG**[b] Boiss. | *ῥαθυμοποιόν, κατηφές* om. **d** || 11 *οὐδ'* *η* Her. Boiss. || 12 *νοσεῖν κατακριθείη* transp. **b** Boiss. | *οὖν*] *τοίνυν* **bf** Her. Boiss. | *τὰ τῆς πενίας*] *τὰ τοιαῦτα* **V** *τοιαῦτα* **C** | *τῇ πενίᾳ*] *τῆς πενίας* **V** || 13 *μεταστησώμεθα* **bHf** *μεταστησόμεθα* **P**[mg]**cCF** Boiss. *μεταβησόμεθα* **aG**[b] Her. | *τύχης*] *ψυχῆς* **b**

30 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a] **c** = **VS** **d** = **HG**[b] **f** = **Z CF**] 2 *τὸ καὶ τό* **abHC** *τοκετῷ* **F** Nissen *τὸ* **VG**[b]**f** Her. om. **S** || 3 *μοι*] *μου* **f** || 4 *κυοφορούμενα*] *κυήματα* **f** Her. || 5 *ἀποπατεῖς*] *ἀποσπᾷς* **b** Boiss. Nissen | *ἡ παμμίαρος*] *ὦ παμμίαρε* **bd** Boiss. *παμμίαρε* **S** | *αἱρετωτέρας* **a***η***H**[pc]**fF** *αἱρετωτέρους* **AcH**[ac]**G**[b]**C** || 6 *πεποίησαι*] *περιποιῇ* **S** | *δριμυτάτοις* Her. || 7 *Κολχικῆς*] *φονικῆς* *η* Boiss. Nissen

φόνους. παιδοκτόνον ἐκείνην ἐδίδασκεν ἀγνωμονῶν ὁ ὁμόζυγος τὴν εὐνέτιν καὶ τῶν ἀγώνων τὴν σύμμαχον· σὺ δὲ διὰ τὴν τοῦ κάλλους εὐπρέπειαν μυρίας συμφορὰς ἀπεργάζῃ, πορνίδιον. παῦσαι δῆτα καὶ τὴν σὴν ἀπανθρωπίαν καλύπτουσα καὶ τὴν ἡμετέραν εὐσέβειαν διαπαίζουσα. φιλανθρωπότερον γὰρ παρ' ἡμῖν ὁ τοκετὸς τῆς ἀμβλώσεως. ἴσθι δὲ καὶ τὴν Δίκην ἐπὶ σοὶ χαλεπαίνουσαν καὶ παιδοκτονίας ποινὰς οὐ ῥαθυμοῦσαν εἰσπράττεσθαι.

31. *Ἡφαιστίων Θάλητι*

Τὸ Μηδικὸν ὄρνεον, ὁ ταώς, καὶ τῶν Μήδων τὴν ὑπεροψίαν κεκλήρωται μέγα τι καὶ ὑπέρογκον ἐπὶ τῷ κάλλει φρονῶν. τούτου καὶ τὴν θήλειαν ἡττᾶσθαι δοκεῖ. τὸ πτερὸν τοιγαροῦν οἷα δὴ κόμην ἀνίστησι καὶ περιφανέστατόν τι τοῖς ὁρῶσι κάλλος παρέχεται, καὶ κυκλικὸν ἀπεργάζεται σχῆμα, καὶ τὸν οὐράνιον εἰκονίζεται κόσμον, καὶ τοῖς ὀφθαλμοῖς τοῦ πτεροῦ τὴν τῶν ἄστρων διακόσμησιν ἀναπλάττετει. καὶ τοῦτο μὲν Μηδικῶν ὀρνέων ἦθος φιλόκαλον· οὐ γὰρ βασκαίνουσι τὴν ἑαυτῶν εὐκοσμίαν ζωγράφους διδάσκοντες. σὺ δὲ τοῖς σοῖς ἐπῳάζεις συγγράμμασι καὶ τὰς σὰς ἀρετὰς ἐγκαλύπτεις καὶ τοὺς πόνους ἀνεπιδείκτους ἐᾷς, τηλικαύτης ὠφελείας ἡμᾶς χηρεύοντας παρορῶν. εἰ μὲν οὖν βασκανία τίς ἐστιν ἡμᾶς τὸ λυποῦν, ἀφιλόσοφον τὸ ἐγχείρημα καὶ τῆς σῆς ἐπαγγελίας ἀλλότριον· εἰ δὲ ὄκνος τὴν ἀναβολὴν ταμιεύεται, ταὐτόν τι πέπονθας ἀνδρὶ γεωργῷ πολλοὺς τοὺς ἱδρῶτας δεδανεικότι τῇ γῇ καὶ θέρους ἀκμῇ μὴ δρεπομένῳ τοὺς στάχυας.

31 2–7 cf. Achill. Tat. I 16, 2–3; Dio Chrys. Olymp. 2–3; Aelian. Nat. anim. V 21; Luc. De domo 11

30 8 *φόνους*] *φθόρους* **a** | *παιδοκτονεῖν* **f** Her. | *ἐδίδαξεν* **d** | *ἀγνωμονῶν ὁ*] *ἀγνώμων* **bH** Boiss. || 8–9 *τὴν — σύμμαχον* om. **f** || 9 *εὐνέτιν* scripsi Bernhardyo auctore (cf. Boiss. 262) *εὑρετὴν* **aG**[b]**C** *ἀρρετὴν* **F** *ἀρετὴν* **V** *αἰνετὴν* **b** Boiss. *εὐεργέτην* **S** *εὐεργέτιν* Her. *εὑρετὴν τῶν καλῶν* **H** *γαμετὴν* Jacobs | *καὶ*] *δὲ* **V** om. **G**[b]**C** | *τὴν*[1]] *καὶ* **G**[b]**C** || 10 *καὶ* om. **b** Boiss. || 12 *φιλανθρωπότερος* **HfF** Her. | *γὰρ* om. **b** Boiss. | *παρ'* om. **df** Her. || 13 *δὲ*] *δὴ* **a** | *τὴν δίκην* **ac** (sed *δίκην* post *χαλεπαίνουσαν* transp. **S**) *τὴν* **C** *γῆν* **bF** Boiss. *τὴν γῆν* **Hf** Nissen *τὴν δίαν* **G**[b]

31 [**a** = **P b** = **A** + **η** = **ERML**[a] **c** = **VS d** = **HG**[b] **e** = **YI f** = **ZOTQ CF**] 1 pro inscr. *περὶ βασκανίας* **Q** | post inscr. add. *πρὸς φθονερόν* **O** || 2 *καὶ* om. **ZF** Her. || 3 *τούτου* **abcCF** *τοῦτο* **eT** *τούτῳ* **ZQ** *οὕτω* **O** || 3–4 *τούτου — δοκεῖ* om. **d** || 5 *κάλλος τοῖς ὁρῶσι* transp. **VYZQF** Her. || 9 *ἐπῳάζει* **F** *ἐπαζει* **A** *ἐφέζῃ* **η** *ἐπωραίζῃ* **T** | *γράμμασι* **SZ** || 10 *σὰς* om. **YO** | *συγκαλύπτεις* **a** Boiss. | *ἀνεπιδεικνύτους* **a** || 12 *ἐστιν ἡμᾶς τὸ λ.* **SYTCF** *ἐστιν ὑμᾶς τὸ λ.* **η** Boiss. Nissen *ὑμᾶς ἐστι τὸ λ.* **aAVH** *ἡμᾶς ἐστι τὸ λ.* **G**[b]**OQ** *ἐστι τὸ λ. ἡμᾶς* **I** *ἐστι τὸ λ.* **Z** || 13 *ὄκνῳ* **aAZF** | *ταμιεύῃ* **aZF** || 15 *μὴ* om. **TF**

32. *Πόας Ἀμπελίῳ*

Δεῦρο ξυναυλίαν, γερόντιον, κλαύσωμεν. ὁ ποταμὸς ἀνεσκίρτησε καὶ κακὸν ἡμῖν ὠρχήσατο σκίρτημα· ὅλον τὸν ἀγρὸν ἐπεκλύσατο καὶ τὰ νεόγονα τῶν ἀμπέλων ὁ φοβερὸς ἐπεβύθισε. τὸ δὲ μεῖζον δυστύχημα, οὐκ ἐθέλει ὁ μιαρὸς τῶν ἐντεῦθεν ἀπαίρειν· ἐμφιλοχωρεῖ γὰρ τῷ γηδίῳ καὶ κοίτην τὸν ἀγρὸν πεποίηται τὸν ἡμέτερον. καὶ δακρύων ἄξιόν ἐστιν ἰδεῖν· ἀντὶ γὰρ ἀμπέλων τοὺς ἰχθύας γεωργοῦμεν οἱ τάλανες. ὅταν ὁ ποταμὸς ἐθέλῃ, ἀγρεύομεν· ὅταν ἐθέλῃ, λιμώττομεν· καὶ μέγα τί μοι δῶρον φιλοτιμεῖσθαι δοκεῖ. εἴθε τῷ θέρει τὰς νεφέλας μηδαμῶς ἱκετεύομεν ὄμβρον ἡμῖν αὐχμῶσι χαρίζεσθαι· οὕτω γὰρ ἅπερ ἐκεκτήμεθα οὐκ ἂν ἀφῃρήμεθα. ποταμὸς γὰρ καθ' ἑαυτὸν ἐπαχθής· εἰ δὲ καὶ ὄμβροις πλουτήσειε, τοῦ πυρός ἐστιν ἀκρατέστερος καὶ μέτροις οὐ χαλινοῖ τὰ φρυάγματα.

33. *Γαλάτεια Θέτιδι*

Ἐπαινῶ σου τὴν φρόνησιν, καὶ τὸ λίαν ἐμπειρότατον ἄγαμαι. ὥσπερ γὰρ ἐκ τρίποδός τινος Πυθικοῦ τὰ μέλλοντα διηγήσω μοι καὶ τοῦ Λυγκέως ὀξύτερον τὰ βαθύτερά τε καὶ ἀφανῆ τῶν πραγμάτων ἐσκόπησας. ὁ Καλλίμαχος ἡμᾶς καταλέλοιπεν· ἀπέπτη μετεωριζόμενος ὀξυτάτῳ τῷ τοῦ κόρου πτερῷ· ἐδραπέτευσεν ἡμᾶς ὁ παμμίαρος καὶ γέγονεν ὁ κόρος αὐτῷ τῆς ἐπιθυμίας πρεσβύτερος. σὺ δέ μοι παρῄνεις πολλά· 'ὅρκοις μὴ

32 2 cf. Aristoph. Equit. 9–10 || 5 cf. Hist. I 13, 5; Ep. 5, 7–8 | cf. Alciphr. Ep. II 12 || **33** 2–3 cf. Quaest. phys. 21, 10–11; Plut. Dem. 29, 3; Athen. II 6 (37 F); Zenobius VI 3; Diogenianus VIII 21 || 3–4 cf. Aristoph. Plut. 210; Apostolius X 79 || 5–6 cf. Alciphr. Ep. IV 16, 5 = Aristaen. Ep. II 1 (p. 66, 24 Mazal)

32 [**a** = P **b** = A + *η* = ERML^a **c** = VS **d** = HG^b **e** = Y CF] 1 *Ἀμπελίνῳ* SC Her. || 2 *τὴν ξυν.* **a** | *ὦ γερόντιον* **a** Boiss. *ὁ γέρων τι* C | post *ποταμὸς* add. *γὰρ* **a** || 4 *νεόγονα* **a**AVG^b *νεογόνα* *η*SC *νεογνὰ* H *ἔκγονα* **e** *ἔγγονα* F || 5 ante *ἐμφιλοχωρεῖ* add. *ἀλλ'* **a** Her. Boiss. | *γὰρ*] *δὲ* **e** om. **a** Boiss. || 7 *ἀμπέλων*] *βοτρύων* **e**F || 8 *ἐθέλει . . . ἐθέλει* VC | *μοι* om. **d** || 9 *μηδαμῶς τὰς νεφέλας* transp. S Her. | *ἱκετεύομεν* *η*H**e** *ἱκετεύωμεν* A *ἱκετεύοιμεν* **a**SG^bCF *ἱκετεύοιμι* V || 10 *κεκτήμεθα* **b** Her. Boiss. || 11 post *ποταμὸς* add. *μὲν* **e** | *καθ' ἑαυτὸν* **b**G^b *καὶ καθ' ἑαυτὸν* H**e** *αὐτὸς καθ' ἑαυτὸν* **a** Her. Boiss. *καὶ ἄνευ αὐτῶν* S *αὐτῶν* VCF | *ὄμβρῳ* **d** *ὄμβροι* *η* || 12 *πλουτήσαιεν* *η* | *ἐστιν* om. **e** | *ἀκρατέστερον* **e**

33 [**a** = P **b** = A + *η* = ERML^aN **c** = VS **d** = HG^b **e** = U **f** = Z CF] 1 *γαλατία* AS**ef**C | inscr. om. N || 3 *Πυθικοῦ*] *δελφικοῦ* **f** om. **a**VC | *διηγήσω μοι*] *διηγήσομαι* G^bC | *λυγκέως* **a**SG^b**ef**C *λιγκέως* H *λυγγέως* *η*F^{pc} *λαγκέος* A *λυγέως* F^{ac} *γλυγγέως* V || 4 *τε* om. **a** || 5 *κατέλιπεν* C *κατέλοιπεν* H *καταλελοιπὼς* **f** | ante *ὀξυτάτῳ* add. *καὶ* **f** | *τῷ* om. **a***η***f**F^{ac} || 6–7 *ὁ κόρος* post *ἐπιθυμίας* transp. **f**F Her. || 7 *πρεσβύτερος*] *ἀλλότριος* F *ἀλλοτρίως* **f** | *πολλά* om. **e** || 7–8 *ὅρκοις — Γαλάτεια*] *ὅρκοις πείθουσα μὴ πιστεύειν γαλάτειαν* **a**

πείθου, Γαλάτεια· ὅρκων τοῖς ἐρῶσιν οὐδέν ἐστιν εὐχερέστερον.' ἐρωτικῶν γὰρ οἱ νέοι μεθύοντες ἡδονῶν καὶ τὸ καλῶς ἀφαιροῦνται βουλεύεσθαι, καὶ πράττουσι καὶ φθέγγονται ὅσα νομοθετοῦσιν οἱ Ἔρωτες· οὐ γὰρ αὐτοκίνητον ἔχουσι τῶν πραγμάτων τὴν ἔφεσιν. ἀπιστία πίστεως ἔοικεν ἀσφαλέστερον, καὶ πρὸς ἀπάτην ὅρκος σοφιστής ἐστιν ἀξιόχρεως.

34. *Θεμιστοκλῆς Χρυσίππῳ*

Ἐπειδὴ σωφροσύνη καὶ παρὰ τῷ μύθῳ τετίμηται, ἄγε δῆτα, Χρύσιππε, διαμυθολογήσομαί σοι μῦθον οὐκ ἄσεμνον.

Ἀφίκοντό ποτε πρὸς τὸν Δία τὰ ὄρνεα καὶ τὸν Ὀλύμπιον ἐπρεσβεύοντο ἡγεμόνα σφίσιν ἐγχειρίσαι· ἦν γὰρ ἀναρχία τοὺς ὄρνιθας τὸ λυποῦν, καὶ μεγίστου τινὸς ἀγαθοῦ, ἡγεμονίας, ἐχήρευον καὶ πολλὴν διὰ τοῦτο τὴν ἀκοσμίαν ἐκέκτηντο. ἐπένευσε τοίνυν ὁ Ζεύς, καὶ γέγονεν ἔργον τὸ βούλημα, καὶ δωρεῖται δῶρον τοῖς ἱκετεύουσι θαυμαστόν· βασιλέως γὰρ ἦν ἀξίωμα τὸ διδόμενον. προσέταττε δῆτα τοῖς ὄρνισιν ἐπὶ λίμνας καὶ πηγὰς ἀφικέσθαι καὶ τὸν ἑαυτῶν ἀποσμήξασθαι ῥύπον, καὶ τοῖς ὕδασι τὴν βάσανον τῆς ἡγεμονίας ἐπίστευσεν· ἦν γὰρ εὐπρέπεια παρὰ τῷ Διὶ τὸ τιμώμενον. ἐλούσαντο δῆτα οἱ ὄρνιθες, εἶτα πρὸς τὸν Δία παλινδρομοῦσιν εὐθύς, καὶ τὴν ἑαυτοῦ ἕκαστος εὐπρέπειαν ἐπεδείκνυτο. ὁ δὲ κολοιὸς τὴν οἰκείαν δεδιὼς ἀμορφίαν τὴν τῆς φύσεως δημιουργίαν ἐνόθευσεν, ἀλλοτρίῳ κόσμῳ τὴν ἑαυτοῦ καλλωπίζων εὐπρέπειαν. ἀλλ' ἤλεγξε τὴν ἀμορφίαν ἡ γλαὺξ καὶ τὸν ἐπίπλαστον κόσμον ἐδείκνυε· τὸ γὰρ οἰκεῖον ἐπιγνοῦσα

33 8 cf. Trag. adesp. fr. 567 Nauck; Aristaen. Ep. II 20 (p. 97, 23–26 Mazal) || **34** 4–18 cf. Aesop. Fab. 101 Perry; Lib. Progymn. I 3 (VIII 26–28 Förster); Tzetzes Chil. VIII 500–513 || 5–6 cf. Soph. Ant. 672 || 8–9 cf. Hist. I 10, 10 || 9–10 cf. Quaest. phys. 30, 3 || 10 cf. Luc. Anach. 29 || 13–18 cf. Achill. Tat. II 38, 2; Luc. Apol. 4 || 14–15 cf. Quaest. phys. 38, 12; Plat. Phaedr. 239 D

33 8 *γαλατία* **efC** | post *ὅρκων* add. *γὰρ* **aG**[b] | *τοῖς ἐρῶσιν*] *ἐρῶσιν* Her. om. **a G**[b] | *ἐστιν* om. **a** Her. || 9 *καί*[2] om. **e** Boiss. || 10 *καί*] *τε καὶ* **e** Boiss. Nissen om. **f** Her. | *φθέγγονται*] *φλεγμαίνοντες* **f** Her. | *ὅσα*] *ἃ* **HefF** Her. *ὅσα ἂν* **SC** | *νομοθετῶσιν* **S** || 11 *ἔοικεν*] *ὡς ἔοικεν* **dfF** Her.

34 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a]**D** (**a** 5]*το ἡγεμόνα· ἦν γὰρ ἀναρχία*) **c** = **VS** **d** = **HG**[b] **e** = **YI** **f** = **ZOTQ CF**] 1 inscr. om. **Q** | post inscr. add. *πρὸς τὸν ἐν ἀλλοτρίοις ἀγαθοῖς καλλωπιζόμενον* **O** || 3 *διαμυθολογήσομαι* **abc** *διαμυθολογήσωμαι* **d** *διαμυθολογήσω* **efCF** Her. || 4–5 *καὶ – ἐγχειρίσαι* om. **Q** || 4 *τόν*[2] om. **bC** | *ἐπρέσβευον* **ZOF** || 5 *ἡγεμόνα σφίσιν ἐγχειρίσαι* **He** *ἡγεμόνα παρασχεῖν αὐτοῖς* **aO** Her. Boiss. *δοῦναι αὐτοῖς ἡγεμόνα* **F** *ἡγεμόνα* **bcG**[b]**ZTC** | *τῆς ὄρνιθος* **S** || 6 ante *ἡγεμονίας* add. *τῆς* **Z** Her. || 8 *βούλευμα* **HF**[pc] || 9 *τοῖς ὄρνισιν* **ASdIZOT**[pc]**QCF** *τοῖς ὄρνεσιν* *η***YT**[ac] Boiss. *ταῖς ὄρνισιν* **a** *τοὺς ὄρνις* **V** || 12 *οἱ*] *αἱ* **aTC** | *πρός*] *εἰς* **VdC** || 14 *οἰκείαν*] *ἰδίαν* **a** | *ἐνόθευεν* **aC** || 15 *ἀπρέπειαν* **aE**[mg]**IT** Her. Boiss. | *τὴν ἀμορφίαν*] *τοῦτον* **ZQF**[ac] || 16 *οἰκεῖον*] *ἴδιον* Nissen

πτερὸν ὡς ἴδιον ἀφείλετο καὶ τοῖς ἄλλοις ὀρνέοις ἐδίδου παράδειγμα ἕκαστον ἀφαιρεῖσθαι τὸ ἴδιον. καὶ γέγονεν αὖθις ὁ κολοιὸς κολοιός.

Ὁ μῦθος οὗτος, ὦ Χρύσιππε, καθάπερ ὕπαρ τὴν ἀλήθειαν φθέγγεται, πολλὴν σωφροσύνην ἡμῖν διηγούμενος. οὕτω γὰρ καὶ οἱ ἄνθρωποι οὐδὲν τῶν τῇδε κεκτήμεθα ἴδιον, ἀλλὰ ζῶντες μὲν πρὸς ὀλίγον ἐπιπλάστῳ σεμνυνόμεθα κόσμῳ, τεθνηκότες δὲ ἀφῃρήμεθα ἅπερ οὐκ ἔστιν ἡμέτερα. ὑπερόρα τοίνυν καὶ χρημάτων καὶ σώματος, ἀθανάτου δὲ πράγματος ἐπιμελοῦ, τῆς ψυχῆς· τὸ μὲν γὰρ ἀίδιον καὶ ἀθάνατον, τὰ δὲ θνητὰ καὶ πρὸς ὀλίγον ἐστὶν ἡμέτερα.

35. *Μυρωνίδης Μόσχωνι*

Τὸν ἀροτῆρα βοῦν κέχρηκα τῷ Τυκανίᾳ· οὐ γὰρ ἦν αὐτῷ τοῦ ζεύγους τὸ ἕτερον. ἐπηγγείλατο δὲ καὶ ὁ Τυκανίας τὸν ἑαυτοῦ μοι ταῦρον παρέχεσθαι. βοὸς γὰρ ἐλειπόμην κἀγώ· ὁ γὰρ θαυμαστός μοι ταῦρος ἀπόλωλεν, ὁπότε ὁ χαλεπὸς ἐκεῖνος λοιμὸς τοῖς θρέμμασιν ἐνεδήμησεν. ὁ δὲ καλὸς Τυκανίας τὰς συνθήκας διέλυσε, καὶ μέχρι ὅτου ὁ σκοπὸς αὐτῷ διηνύετο στέργειν ἐδόκει τὰ δόξαντα. ἐγὼ δὲ τὴν τύραννον †ἄντλην† θρηνῶ· οὐ γὰρ ἀροτῆρας βόας κεκτήμεθα, ὁ δὲ καιρὸς τῶν ἀρότρων ἤδη που καὶ παρῴχηκε. δικαστήριον τοίνυν τῷ Τυκανίᾳ ὁπλίσομαι, καὶ δικαστὰς ἅπαν τὸ χωρίον προστήσομαι. καὶ τῆς ἀπάτης ἐκεῖνος δίκας ὑφέξεται, καὶ κακίας πείσομεν τοὺς ἀκολάστους ἀπέχεσθαι, ἑνὸς ἀνθρώπου φθορὰν σωφροσύνης διδάσκαλον ἔχοντας.

35 2 et 8 cf. Longus I 19, 2; Plut. Pyrrh. 5, 7; Hes. Op. 405; Arat. 132 || 6 cf. Isocr. Callim. 24 | cf. Hist. I 1, 23 et III 15, 10 || 11–12 cf. Hist. IV 5, 12

34 17 *ἴδιον*] *οἰκεῖον* Nissen || 19 *οὗτος* om. **b** | *τὴν ἀλήθειαν* ante *καθάπερ* transp. **b** Boiss. || 23 *καί*[1] om. **b** || 24 *ἀθάνατον καὶ ἀίδιον* transp. **O** | *ἴδιον* **S** | *καὶ ἀθάνατον* om. **T**
35 [**a** = **P** **b** = **Λ** + *η* = **ERML**[a]**D** **c** = **VS** **d** = **HG**[b] **e** = **YK** **f** = **Z CF**] 1 *μύρων* **K** | *Μοσχίωνι* **abG**[b] Boiss. | inscr. om. **f** || 2 *κεχάρηκα* *η* || 3 post *δὲ* add. *μοι* **cf** Her. | *καὶ* om. **f** Her. | *μοι* om. **Sf** Her. | *παρασχέσθαι* **ab** Boiss. || 4 *ἐλιπόμην* **S** | post *κἀγώ* add. *ἐπειδὴ* **f** | *γὰρ* om. **f** || 5 *ἐπεδήμησεν* **aE**[mg]**C** Her. Boiss. || 6 *ἐπιθήκας* **VF** | *αὐτοῦ* **ASef** || 7 *ἐγὼ* — *θρηνῶ*] *νῦν δ' οὔ φησι· ἐγὼ δὲ θρηνῶ* **G**[b] | *ἄντλην* **abeHCF** *ἀπάτην* **f** Her. *αἴτνην* **e** | post *ἄντλην* add. *καθ' ὁδὸν* **C** || 8 *ἀρότων* **H** Her. || 8, 9 *καὶ παρῴχηκε*] *συμπαρῴχηκε* **f** Her. || 9 *ὁπλίσομαι*] *συστήσομαι* **e** *ποιήσω* **Y**[sl] | *δικαστῶν* **F** || 10 *προστήσομαι* **bfC** *προσθήσομαι* **aVH** *προθήσομαι* **SG**[b]**e** *πλησθήσεται* **F** | *ἐκείνης* **bG**[b]**K** || 11 *πείσομεν* **abSCF** *πείσομαι* **Vdef** || 12 *ἔχοντας* **dKCF** *ἔχοντες* **abef** Her. Boiss. om. **Y**

36. *Ἀντίγονος Λυσιστράτῳ*

Παίζουσι τοὺς ἀνθρώπους οἱ Ἔρωτες καὶ δουλαγωγοῦσι τοὺς ὑπὸ σελήνην παῖδες ὑπόπτεροι, ἵνα τι καὶ τοῖς ζωγράφοις πεισθῶμεν. εἴθε γὰρ ἦν τὸ πολέμιον ὁρᾶν· οὕτω γὰρ βάλλοντες ἐβάλλοντο καὶ οἱ Ἔρωτες. ἀλλ' αὐτὸ τοῦτο ἠδικήμεθα πλέον, ὅτι καὶ τοὺς ἐχθροὺς ἠγνοήκαμεν ὁποῖοι τὴν φύσιν ὄντες τυγχάνουσιν. οἵῳ γὰρ ἀλογίστῳ πάθει συμπέπλεγμαι· Μελανίππην, Διοδώρου ἀπόγονον, ἐκτόπως ποθῶ, μήτε ὄναρ ποτὲ τὸ γύναιον θεασάμενος, ἀλλὰ μόνον ἀκούσας ὑπό τινος ᾄδειν αὐτὴν θαυμαστῶς. καὶ βέβλημαι τὴν ψυχήν, μηδὲν ἐκ τῶν ὀφθαλμῶν ἀδικούμενος, ὅπερ εἴωθα πάσχειν, Λυσίστρατε· νῦν δὲ γεγόνασί μοι ὀφθαλμοὶ καὶ τὰ ὦτα. τοσαῦτα φύσις Ἐρώτων δεδύνηται. εἴτε οὖν φρῦνός ἐστι τὴν θέαν ἠγνόηκα, ἢ καὶ φαντασία τίς ἐστι τὸ λεχθὲν οὐκ ἐπίσταμαι· οὐ γὰρ εἷς μάρτυς ἀξιόχρεως πρὸς ἀλήθειαν. ἀλγῶ δὲ ὅμως τὴν ψυχήν, καὶ τῆς οὐχ ὁρωμένης ἐρῶ, καὶ Πανικῆς μετειληφέναι μανίας δοκῶ· κἀκείνῳ ἀθέατον ἦν τὸ ποθούμενον, καὶ δόκησις μόνη τῶν ζητουμένων εἶχε τὴν ὕπαρξιν.

36 2–3 cf. Hist. II 6, 8 || 3 cf. Plat. Alc. I 135 E; Eubulus fr. 41 Kock || 6–11 cf. Achill. Tat. II 13, 1; Philostr. Ep. 41; Heroicus 54, 4 De Lannoy || 7 cf. Aristaen. Ep. I 13 (p. 33, 50 Mazal) et Ep. I 22 (p. 52, 13 Mazal) || 7–8 cf. Eur. Iph. Taur. 518; Men. Peric. 359–360 || 11–12 cf. Alciphr. Ep. IV 12, 3 || 13 cf. Hist. I 1, 14 || 14–16 cf. Quaest. phys. 26, 10–13

36 [**a** = **P** **b** = **A** + *η* = **ERML**^{a}**DN** **c** = **VS** **d** = **HG**^{b} **e** = **I** **f** = **Z** **CF**] 1 *ἀντίγονος λυσιστράτῳ* **adF** *Ἐράσμιος Λυσιστράτῳ* *η* (non **N**) Her. Boiss. *τερψιχόρη* (*τερψιχώρη* **f**) *ἐρατῶ* (*ἐρατοῖ* **C**) **ASefC** *ἀντίγονος λυσιστράτῳ τερψιχόρῳ ἐρατῶ* **V** | inscr. om. **N** || 3 *πειθώμεθα* *η* Boiss. *πεισθῶ* **C** *πείθωμαι* **f** || 4 *γὰρ*[1]] *δὲ* **H** om. **f** | *τὸ*] *τὸν* **bfC** Her. | *ὁρᾶν τὸν πολέμιον* transp. **f** Her. | post *γὰρ*[2] add. *ἂν* Her. | post *ἐβάλλοντο* add. *ἂν* **F** || 5 *ἠγνοήσαμεν* **b** || 6 *ὄντες τὴν φύσιν* transp. **f** Her. | *ὄντες* om. **C** | post *συμπέπλεγμαι* add. *ἐρατοῖ* **f** || 7 *μελανίππη* **S** *μελανίπη* **e** om. **f** | ante *Διοδώρου* add. *τὴν* **VG**^{b}**F**, *τὸν* **H** | *μηδὲ* *η***G**^{b} Her. Boiss. || 9 *μηδὲ* **F** | post *μηδὲν* add. *ἐξ αὐτῆς* **a** Boiss. || 10 *εἴωθα* **cG**^{b}**F** *εἰώθειν* **bf** *εἴωθε* **e** *εἰώθει* **C** *εἰώθειμεν* **H** *εἴθε* **a** Her. | *πάσχειν*] *ἔπαθον* Her. | *δὲ*] *δὴ* **f** | *οἱ ὀφθαλμοὶ* **A** || 11 *ἡ φύσις* **b** Boiss. | *φρῦνός* scripsi Boissonadio auctore in adnot. in Philostrati Epistulas p. 59 (cf. Alciphr. Ep. IV 12, 3) *Ἐριννύς* **bG**^{b}**F** Boiss. *βραχύς* **Se** *βρινός* **a** *βρίνυς* **C** *βρενθης* **f** Her. *βροτός* **V** *καλλίστη* **H** || 12 *θέαν*] *θεωρίαν* **b** | *ἢ*] *εἴτε* **bfC** Her. | *καὶ* om. **b** | *ἐστι* om. **HF** | *οὐκ ἐπίσταμαι* om. **F** || 13 *πρὸς ἀλήθειαν ἀξιόχρεως* transp. **f** Her. | post *ἀξιόχρεως* add. *ἐστι* **a** Boiss. | *ὁμῶς* Nissen || 14 *ὁρωμένης*] *ὁρασθείσης* **H** *ἐρωμένης* **C** | *κἀκεῖνο* **bSe** | post *κἀκείνῳ* add. *γὰρ* **H** || 15 *δόκησιν μόνην* **f** Her. | *ζητουμένων*] *ποθουμένων* **b**

37. *Εὐρυβιάδης Κίμωνι*

Ἐπαγγέλλῃ πολλὰ καὶ πράττεις ὀλίγα, καὶ τὴν γλῶτταν ἔχεις ὑψηλοτέραν τῆς πράξεως. ἀλλ᾽ εἰ μὲν ῥημάτων κομψότης τεθαύμασται παρὰ σοί, οἱ ζωγράφοι τῆς σῆς δυνατώτεροι γλώττης, τοσαῦτα πλαστουργοῦντες τοῖς πίναξιν ὅσα πράττειν ἡ φύσις οὐ δύναται. εἰ δὲ καὶ χαίρειν δοκεῖς ὑποσχέσεσι τοὺς ἀκούοντας, πρὸς ὀλίγον μὲν εὐφραίνεις, ἀνιᾷς δὲ μετ᾽ οὐ πολὺ χαλεπώτερον. ἐπεὶ καὶ τῶν ἐνυπνίων τὰ κάλλιστα οὐ τοσοῦτον ἡμᾶς εὐφραίνει καθεύδοντας, ὅσον ἐγρηγορότας ἐλύπησεν· αἱ γὰρ ἐλπίδες μετὰ τοῦ ὕπνου εὐθὺς συνανίπτανται. σύμφωνα δῆτα τῇ γλώττῃ τὰ πράγματα κέκτησο, ἵνα μὴ καὶ φίλοις ἀπεχθήσῃ ψευδόμενος καὶ τοῖς ἐχθροῖς ὑπόθεσιν ψόγου πορίσειας ὡς ἀληθείας ὑπάρχων ἀμέτοχος.

38. *Τεττίγων Ὀρτύγωνι*

Τί δῆτα, τρισάθλιε, τὴν ἐσθῆτα διήλλαξας καὶ τοὺς πέρδικας ἐξεπέτασας; οἰνός σοι γέγονε τὸ κακόν· οἴνῳ καὶ τοῦ Κύκλωπος τὸν ὀφθαλμὸν ὠνήσασθαι τὸν Ὀδυσσέα φασί. διὸ εἰ μὴ συναθροίσειας, Ὀρτύγων, τοὺς ὄρνιθας, σὺν σοὶ κατακρημνίσαιμι ἑαυτόν. καὶ παῖδα γὰρ ἀκόλαστον ζῆν χαλεπὸν καὶ τάφον πρὸ τοῦ πατρὸς υἱὸν σφετερίσασθαι καὶ λίαν ἐστὶ δυσφορώτατον.

37 9–10 cf. Plat. Laches 188 D

37 [**a** = **P** **b** = **A** + **η** = **ERML^{a}D** **c** = **VS** **d** = **HG^b** **e** = **UY** **f** = **OTCF**] 1 *εὐρυβιάδης* **aAVdF** *Εὐριβιάδης* Boiss. *εὐριάδης* **ηY** *εὐρυάδης* **E^{pc}S** *νιάδης* **T** *πλάτων* **U** om. **O** | *κύμωνι* **T** *τίμωνι* **F** *αἰσχίνῃ* **U** *μίκωνι* **O** | inscr. om. **C** | post inscr. add. *πρὸς ἐπαγγελλόμενον ἀτέλεστα εὐρυμίδης* **O** ‖ 4 post *ζωγράφοι* add. *δὲ* **a** ‖ 5 *πλάττειν* Nissen ‖ 6 *ταῖς ὑποσχέσεσι* Her. | *πρὸς*] *μετ᾽* **η** | *εὐφρανεῖς* **η** Nissen ‖ 8 *ἐλύπησαν* **bO** ‖ 9 *τοὺς ὕπνους* **acG^{b}F** | *εὐθὺς* post *ἐλπίδες* transp. **S** Her., om. **befC** | *συνανίπτανται* **bG^{b}Y** *συναφίπτανται* **HT** *συνίπτανται* **acF** *συνίστανται* **O** *διΐστανται* **UC** | *δῆτα*] *δὴ* **η** ‖ 10 *τοῖς φίλοις* **UC** Her. | *ἀπεχθήσῃ* **aη** *ἀπεχθὴς ᾖ* **Ade** *ἀπεχθὴς ᾖς* **SO** *ἀπεχθὴς εἶ* **VCF** *ἀπεχθάνῃ* **T** *ἀπέχθῃ* Her. | *ψευδόμενος* om. **U** Her. ‖ 11 *ψόγων* **a** Boiss. | *πορίσῃς* Her. | *ὡς* – *ἀμέτοχος* om. **O** | *ὡς* om. **HUC** Boiss.

38 [**a** = **P** **b** = **A** + **η** = **ERML^{a}D** **c** = **VS** **d** = **HG^b** **f** = **Z C**] 1 *τεττιγίων* **V** *τεττίου* **S** | inscr. om. **f** ‖ 3 *οἴνῳ*] *οἴνου* **η** | *τοῦ*] *τὸν τοῦ* **C** *τὸν* **b** | *τὸν* om. **bC** ‖ 4 *ὠνήσασθαι*] *ἐπιβλάψαι* **f** *βλάψαι* Her. ‖ 4–5 *εἰ* – *ζῆν* om. **a** ‖ 4 *συναθροίσεις* **d** | *Ὀρτύγων* **H** Boiss. *Ὄρτυγον* Nissen (aut *Τέττιγον*, nominum ordine in inscr. inverso *Ὀρτύγων Τεττίγωνι*) *τεττίγων* **bG^{b}C** *τεττιγίων* **c** om. **f** Her. ‖ 5 *ἑαυτόν* **AVG^b** *ἐμαυτόν* **aηSHfC** Her. Boiss. ‖ 6 *πρὸ* om. **a** | *καί*^{2} om. **SC**

39. Θέτις Ἀναξάρχῳ

Οὐ δύνασαι Θέτιδος καὶ Γαλατείας ἐρᾶν· οὐ τεμαχίζεται πόθος· οἱ γὰρ Ἔρωτες οὐ μερίζονται. ἀλλ' οὔτε διπλοῦν ἂν ἐνέγκοις τὸν ἔρωτα· ὡς γὰρ ἡ γῆ δύο ἡλίοις οὐ δύναται θάλπεσθαι, οὕτω μία ψυχὴ δυάδος πυρσῶν ἐρωτικῶν οὐκ ἀνέχεται.

40. Σωκράτης Πλάτωνι

Ἀδικεῖται μὲν οὐδείς, ἀδικοῦσι δὲ πάντες, αὐτομάτως ἕκαστος ἑαυτὸν ἀδικῶν· ἀρετῆς γὰρ καὶ κακίας ἐσμὲν αὐτοκράτορες. ἀφείλετό σου Λεωνίδης τὸ γήδιον· τοῦτο τῶν ἐκτός, καὶ τὴν σὴν ψυχὴν οὐδὲν ἐλυμήνατο. ζημιοῖ σε Φίλιππος καὶ τὸν δακτύλιον σφετερίζεται· οὐδὲν ἠδικήθης αὐτός· τὸ γὰρ ἐπίκτητον οὐχ ἡμέτερον. τὸν σὸν υἱὸν ἀνεῖλον οἱ βάρβαροι· οὐ πέπονθάς τι δεινόν· οὐ γὰρ ἀΐδιον τὸν παῖδα ἐκέκτησο· ἔναγχός σοι μὴ κεκτημένῳ προσγέγονε, καὶ πάλιν οὐκ ἔστιν, ἐπείπερ οὐκ ἦν, ἀλλ' ἐγένετο. οὐκοῦν ἀδικοῦσιν, οὐκ ἀδικοῦνται οἱ ἄνθρωποι. καὶ τὸν Ὁμηρικὸν τεθαύμακα Κύκλωπα· οὐδένα γὰρ βλάπτειν ἀδικούμενον ἔφασκε, καὶ ἦν τῷ ποιμένι ἀπόφασις ἡ τῆς ἀληθείας κατάφασις.

41. Μαράθων Πηγάνωνι

Τοὺς πολιτικοὺς κλύδωνας ἐκφυγὼν καὶ τοὺς ἀπαραιτήτους θορύβους τοῦ ἄστεος ἐμισθωσάμην τὸν ἀγρὸν τουτονί, καὶ μεταβολὴν τύχης ἐδόκουν εὑρεῖν. ἀλλὰ μείζοσι κακοῖς ἐμβεβλήμεθα· ποτὲ γὰρ τὴν ἐρυσίβην ἔχω πολέμιον, ποτὲ δὲ τὰς ἀκρίδας, ἄλλοτε καὶ τὴν χάλαζαν· ἡ δὲ πάχνη λυμαίνεται τοὺς καρποὺς ὡς ἀπαραίτητος τύραννος, καὶ τοὺς ἱδρῶτας ὁ

39 2 cf. Apostolius XIII 64 || **40** 2 cf. Tzetzes Chil. VIII 32 || 10 cf. Hom. Od. IX 408 || **41** 4–5 cf. Xen. Oecon. 5, 18 || 6–7 cf. Eur. Tr. 418–419; Apoll. Rhod. I 1134–1135; Zenobius I 100

39 [**a** = **P** **b** = **A** + η = **ERML^aDN** **c** = **VS** **d** = **HG^b** **f** = **Z** **C**] 1 inscr. om. **N** || 2 *γαλατίας* **ASfC** | *οὐ*^{2} **cG^bf** *οὐ γὰρ* **HC** *οὔτε γὰρ* **b** *ἆ* **a** | *τεμαχίζεται* **ac** *τεμμαχίζεται* **dfC** *μάχεται* **b** | *πάθος* **a** || 3 *οὔτε*] *οὐδὲ* **H** Her. | *ἐνέγκαις* **f** Her. || 4 *δύο*] *δυσὶν* **d** || 5 *πυρσὸν ἐρωτικὸν* **aV**
40 [**a** = **P** **b** = **A** + η = **ERML^aD** **c** = **VS** **d** = **HG^b** **e** = **UYK** **f** = **OT** **C**] 1 post inscr. add. *πρὸς μικρόλυπον* **O** || 3 *γὰρ*] *μὲν* **V** om. **C** || 4 *τῶν*] *τὸν* **YK** || 5 *ζημιοῖ σε*] *ἐζημίου σε* **a** Nissen *ἐζημίωσε* **b** | *ἠδίκησαι* **b** Boiss. || 6 *γὰρ* om. **a** || 7 *ἀΐδιον* **bde** *ἴδιον* **acfC** || 8 *οὐκ ἔνεστι* **aT** *οὐδέν ἐστιν* **C** || 9 ante *καὶ* add. *διὸ* Her. | *καὶ* om. **C** || 10 *ἀδικούμενος* **VU** Her. Boiss. || 11 *ἦν*] *γέγονε* **C**
41 [**a** = **P** **b** = **A** + η = **ERML^aDG^a** **c** = **VS** **d** = **H** **f** = **Z** **C**] 1 *πηγανῶνι* **c** inscr. om. **f** || 3 *τουτονὶ τὸν ἀγρὸν* transp. **aVC** | *τύχης*] *ψυχῆς* **b** || 4 *συμβεβλήμεθα* **a** | post *ποτὲ* add. *μὲν* **a** Her. || 5 *δὲ*^{1} om. **bC** | post *δὲ*^{1} add. *καὶ* **d**

τάλας τοῖς ἀνέμοις χαρίζομαι. οἴμοι ὁ δύστηνος, ὅποι τραπῶ; ὅταν τῶν γεωργικῶν μόχθων ἐπιμνησθῶ, τὰ τοῦ ἄστεος ἀσπάζομαι· ὅταν τὸν πολιτικὸν τάραχον λογίσωμαι, τῆς ἀγροικίας ἐρῶ, καὶ τοῦ παρόντος ἐστὶ τὸ μὴ παρὸν εὐτυχέστερον. μία τῶν λυπηρῶν κατάλυσίς ἐστιν ὁ θάνατος, εἴτε φυσικὸς εἴτε πάλιν αὐθαίρετος. οὐκοῦν ἀγχόνη μοι τὸ φάρμακον· βδελύττεσθαι γὰρ τὸν θάνατον τοὺς δυστυχοῦντας ἠλίθιον.

42. *Περικλῆς Ἀσπασίᾳ*

Εἰ δῶρα ζητεῖς, οὐ ποθεῖς· ἀδωροδόκητοι γὰρ οἱ Ἔρωτες, καὶ τοὺς ποθοῦντας τοιούτους εἶναι διδάσκουσιν. εἰ μὲν οὖν ἐρᾷς, τὸ διδόναι μᾶλλον, οὐ τὸ λαβεῖν οἰκειότερον· εἰ δὲ χρημάτων ὀρέγῃ καὶ δι' ἐμπορίαν τὸ ποθεῖν ἀναπέπλασαι, τὴν γνώμην ἡ γλῶττα διήλεγξε, πωλοῦσα χρυσῷ τὰς ἡδονὰς τῷ ἐθέλοντι.

43. *Διογένης Δημονίκῳ*

Τὸ τεχνητὸν γύναιον, τὸ διγενὲς ἡμιάνδριον, τὸ παρὰ τῇ φύσει κατὰ μηδὲν ἐντελές, ὕβρισεν ὁ Λυδὸς εὐνοῦχος ἡμᾶς· ἅπαντα γὰρ τὰ τοῦ σώματος μέλη γλώττας ἔχειν ἀσχήμονας ἐπαγγέλλονται. ἐγὼ δὲ κατὰ τὸν

41 11 cf. Anth. Pal. V 221 || **43** 2 cf. Suda s. v. *τεχνητόν* et s. v. *ἄρρεν*; Hippon. fr. 161 Degani; Luc. Dial. deor. 23, 1

41 7 *ὅποι*] *ὅπῃ* c *ὢ ποῖ* f Her. | *τραπῶ* Acd *τράπωμαι* aηf Her. Boiss. *τράπομαι* C || 8 *μόχθων*] *πόνων* bf | *ἐπιμνησθῶ* Sdf *μνησθῶ* aVC *μνησθῶμεν* b | *τὰ*] *τὰς* S Her. *τὸ* f | *ἀσπάζομεν* A *ἀσπαζόμεθα* η Nissen | post *ἀσπάζομαι* add. *διατριβάς* S Her. | *ὅτε* VdC || 8–9 *τὸν – τάραχον*] *τῶν πολιτικῶν ταράχων τὸ πλῆθος* f Her. || 9 *λογίσωμαι τάραχον* transp. Nissen | *λογίσωμαι* Sf *λογίσομαι* adC *λογίζομαι* V *λογισώμεθα* A *ἀσπασώμεθα* η | ante *τῆς* add. *τὰ* A Boiss., *τῶν* η || 10 *εὐχερέστερον* S | *κατάδυσις* A *ἀνάδυσις* η Boiss. || 11 post *φυσικός* add. *ἐστιν* b Her. Boiss. || 11–12 *τὸ φάρμακον· βδελύττεσθαι* ef *τὸ φάρμακον βδελύττεται* abd Boiss. *τὸν θάνατον βδελύττεται* C *βδελύττεται φάρμακον* Nissen || 12 ante *γὰρ* add. *αἰωρεῖν* η Boiss. Nissen, *ἑῶραν* A, *αἰωρᾶν* C, *ὁρᾶν* d. *ἐπείγει* a | *τοῖς δυστυχοῦσιν* a

42 [a = P b = A + η = ERML^{a}DNG^a c = VS d = H e = U f = Z CF] 1 inscr. om. NC || 3 *εἶναι* om. b Boiss. | *οὖν* om. aVef || 4 *μᾶλλον* om. f Her. | *οὐ* ace *ἢ* bdfCF Her. | *καὶ* post *ἐμπορίαν* transp. d | *δι' εὐπορίαν* bdF om. C || 5 *τὸ ποθεῖν* bdeCF *ποθεῖν* Vf *τοῦ ποθεῖν* a *τοῦ παθεῖν* S | *ἀναπέπλασαι* bdCF *ἀναπίμπλασαι* ace *πλάττῃ* f Her. | *τὴν – γλῶττα*] *ἡ γνώμη τὴν γλῶτταν* e | *χρυσοῦ* Her. || 6 *θέλοντι* e

43 [a = P b = A + η = ERML^{a}DG^a c = VS d = H f = O (usque ad 8 *μεμνῆναι τοῖς*) T CF] 1 post inscr. add. *κατὰ εὐνούχου* O || 2 *τεχνικὸν* dT *τεθνητό* C | *γύναιον*] *γυμνον* C | *διογενὲς* a *δυσγενὲς* F | *παρὰ*] *ἐπὶ* a | *τὴν φύσιν* Her. Boiss. | post *φύσει* add. *καὶ τῇ φύσει* O || 3 *εὐτελὲς* AS | *ὕβρισεν ὁ λ. εὐ. ἡμᾶς* aC *ὕβρισε λ. ὁ εὐ. ἡμῖν* O *ὑβριστέον λ. εὐ.* b *ὁ ὑβρισταῖος λ. εὐ. ἡμῖν* cT *ὁ ὑβριστέος λ. εὐ. ὕβρικεν ἡμᾶς* d *ὕβρικε λ. εὐ. ἡμᾶς* F *ὁ Λ. εὐ. ὕβρισεν ἡμᾶς* Her. || 4 *ἐπαγγέλλεται* ηdTF Her.

Ὁμηρικὸν Ὀδυσσέα τῶν μὲν ἐκείνου βελῶν οὐκ αἰσθάνομαι· ἀδρανὲς γὰρ πλῆττον τὸ γυναικεῖον φῦλον τοὺς ἥρωας, ἵνα τί σοι καὶ σοβαρώτερον ἀποφθέγξωμαι τὸν Διομήδην μιμούμενος. ὑλακτεῖν δῆτα καὶ μεμηνέναι τοῖς εὐνούχοις ἐστὶν ἁρμόδιον· τῆς τῶν χειρῶν γὰρ ἐστερημένοι δυνάμεως ἅπαντα διὰ τῆς γλώττης πράττειν ἐθέλουσιν. οἱ δὲ φίλοι πολλὴν εὐήθειαν κατηγοροῦσιν ἡμῶν, ἐπειδὴ τὸν ὑβριστὴν οὐ ποιναῖς ἠμειψάμεθα· οὕτω γὰρ καὶ ὄνος ἡμᾶς εἰ λακτίσειεν, οὐκ ἂν δικαστήριον αὐτῷ συγκροτήσαιμεν. τοῦτο δέ τοι καὶ τῷ Σωφρονίσκου Σωκράτει καλῶς διηγόρευται.

44. *Πριαπίδης Κορύδωνι*

Αὔριον ἔσο μοι δαιτυμών. ἅπαντα τὰ πρὸς τὸν γάμον μοι παρεσκεύασται· ἔτνος, ἐρέβινθος, ἰσχάδες πολλαὶ καὶ γλεῦκος καὶ μελιτοῦττα καὶ πόπανα. αὐτὸς δὲ κόμιζε τὴν ἔντεχνον σύριγγα, τὰς ὑπερκύκνους μελῳδίας ᾀσόμενος· ἦσθα γὰρ ποιμαντικῆς μουσουργίας ἐπιστήμων, Κορύδων. τὴν γὰρ παστάδα βεβούλημαι πρὸς ἡδονὴν κινεῖν ἀφροδίσιον, τοῖς ἀπὸ τῆς σάλπιγγος ὑποθελγομένην ἠχήμασιν.

45. *Λέανδρος Πυλάδῃ*

Λίαν ἡμῖν οἱ Ἔρωτες ἀπεχθάνονται. ἐγὼ μὲν ἐρῶ, ἀλλ' ἡ ποθουμένη μισεῖ· καὶ τί δράσαιμι ἂν ὁ τρισάθλιος; οὐκ ἰσόρροπον ἔχουσιν οἱ Ἔρωτες πλάστιγγα· ἄνισα τοῖς ἀνθρώποις ζυγοστατοῦσι τὰ δάκρυα. εἰ μὲν οὖν

43 5 cf. Hom. Od. XX 299–305 || 5–6 cf. Hom. Il. V 347–351 || 8–9 cf. Aristaen. Ep. I 21 (p. 51, 20–21 Mazal) || 11 cf. Hist. I 11, 20; Diog. Laert. II 21; Plut. De liber. educ. 14 (10 C) || 12 cf. Basil. Magn. Ad adulesc. leg. lib. gent. 7 || **44** 4 cf. Quaest. phys. 15, 2–3; Ep. 82, 13 || **45** 4–6 cf. Anth. Pal. V 97

43 5 *μὲν* om. **bdC** Her. Boiss. || 6 *πλήττειν* **η** Her. Boiss. || 7 *ἀποφθέγξωμαι* **bSdF** *ἀποφθέγξομαι* **afC** *φθέγξωμαι* **V**F^{mg} | *διομήδη* **ηV** || 8 *γὰρ* ante *τῶν χειρῶν* transp. **F**, om. **C** || 9 *τῆς* om. **C** | *πλάττειν* **aAV** || 10 *ἡμῖν* **A** | *ἐπεὶ δὲ* **a** || 11 *καὶ ὄ. ἡ. εἰ λ.* **SC** Her. *καὶ εἰ ὄ. ἡ. λ.* **aF** Boiss. *εἰ καὶ ὄ. ἡ. λ.* **f** *καὶ ὄ. εἰ λ.* **b** *καὶ εἰ ὄ. ἡ. ὑλακτήσειεν* **V** *καὶ εἰ κύων ἡ. ὑλακτήσειεν* **d** | *οὐκ ἂν* om. **d** | *συγκροτήσωμεν* **fC** || 12 *τοι* om. **V**T^{ac} | *τῷ*] *τοῦ* **A** | *Σωκράτει* om. Her.
44 [**a** = **P** **b** = **A** + **η** = **ERM**L^{a}**D** **c** = **VS** **d** = **H** **e** = **U** **C**] 1 *πριαπίδης* **SC** *πριαμίδης* **aVd** *πραμίδης* **b** *ῥιαπίδης* **e** || 2 *ἔσο μοι*] *ἔσομαι* **b** *ἔσομαί σοι* **S** | *τὰ* om. **b** | *τὸν* om. **dC** || 3 *ἔτνος* om. **S** | *μελιτοῦττα* **A** *μελιτοῦτα* **e** *μελλιτοῦτα* **C** *μελιττοῦτα* **aηcd** Boiss. || 4 *ὑπερκύκνους* **aSeC** *ὑπερκύνους* **A** *ὑπερύμνους* **η** *ὑπερκύκλους* **V** *ὑπερκυκνείους* **d** Her. || 5 *ποιμενικῆς* **bC** | *Κορύδον* **e** Boiss. || 6 *τοῖς*] *τὴν* **d** | *ἀπὸ*] *ὑπὸ* **b** || 7 *σάλπιγγος*] *σύριγγος* Her. Boiss. Nissen | *ὑποθελγομένην* **Sde** *ὑποθελγόμενος* **a** Her. Boiss. *ἀποθελγομένην* **C** *ὑπερθελγομένην* **V** *θελγομένην* **b**
45 [**a** = **P** **b** = **A** + **η** = **ERM**L^{a}**DN**G^{a} **c** = **VS** **d** = **H** **e** = **UI** **f** = **Z** **CF**] 1 *πέανδρος* **f** | inscr. om. **NF** || 2 *ἡμᾶς* **f** | *ἀλλ' ἡ*] *ἡ δὲ* **b** Her. || 3 *ἂν* ante *δράσαιμι* transp. **f** Her. | *οἱ* om. **ce** || 4 *δάκρυα*] *δίκαια* **dF**

ἀδικοῦσι, θεοὶ μὴ κεκλήσθωσαν· εἰ δὲ τὴν προσηγορίαν οὐ ψεύδονται, ὀρθὰ δικαζέτωσαν καὶ τὰς ἀλγηδόνας ἐμοὶ κατὰ τὸ δίκαιον μεριζέτωσαν.

46. *Διογένης Ἀριστάρχῳ*

Κατέπληττε τὴν Μακεδονίαν Ἀλέξανδρος τῷ βουκεφάλῳ ἐποχούμενος ἵππῳ. τὸν δὲ ἵππον χαλινοῖς ἱστοροῦσι μὴ πείθεσθαι, μήτε δὲ χειροήθεσι κολακείαις μαλάττεσθαι· ἦν γὰρ ἀτιθάσευτον τὸ ζῷον καὶ τῷ θυμῷ τὸ εἶναι ἵππος ἀφῄρητο, καὶ κακόν τι ἀπρόσιτον ἦν καὶ τοῖς ἐντυγχάνουσι λίαν δυσάντητον. ὅτε τοίνυν ἐπιβάτην Ἀλέξανδρον ἐκληρώσατο, τὴν ἀπήνειαν ὥσπερ πραότητι συνεκέρασεν, ἀμειβόμενος τῇ κατηφείᾳ τὸ φρύαγμα· καὶ ἦν ἰδεῖν σώφρονα τὸν ἀκόλαστον. οὐ γὰρ Ἀλεξάνδρῳ θέμις ἦν ἀντιμάχεσθαι. ἔσο τοίνυν, Ἀρίσταρχε, καὶ σὺ τῆς τύχης ὑπήκοος· οὐ γὰρ Ἀλεξάνδρῳ, ἀλλὰ τῇ τύχῃ ὁ βουκέφαλος ἵππος ἐπείθετο.

47. *Ποιμνίων Ἄρνωνι*

Τὰ τῶν προβάτων οὔθατα ὑπὸ τοῦ γάλακτος μέλλει μοι διαρρήγνυσθαι, καὶ κισσυβίων οὐκ οἶδ᾿ ὅπως ἠπορήμεθα. διὸ δίδου μὲν αὐτὸς τὰ κισσύβια· ἐγὼ δέ σοι γάλα παρέξομαι, μεγάλοις δώροις μικρὰς ἀμειβόμενος χάριτας.

48. *Χρυσογόνη Τερπάνδρῳ*

Μὴ μέμφου λοιδορουμένην τε καὶ ὑβρίζουσαν· οἱ γὰρ ποθοῦντες γλυκείας καὶ τὰς ὕβρεις προσφέρονται, καὶ πληγαῖς δὲ πολλάκις καὶ μώλωψιν ὡραΐζονται. εἰ δὲ δυσανασχετεῖς ὑβριζόμενος, οὐδὲ ῥόδον τρυγήσεις τὴν ἄκανθαν εὐλαβούμενος.

46 3–8 cf. Plut. Alex. 6, 1–7 ‖ **47** De argumento cf. Alciphr. Ep. II 12 ‖ **48** 2–4 cf. Aristaen. Ep. II 17 (p. 91, 9–10 Mazal) ‖ 4–5 cf. [Basil. Magn.] Ep. ad Lib. 8 (XI 582 Förster)

45 6 *ὀρθῶς* **bfC**

46 [**a** = **P b** = **A** + *η* = **ERML**^{a}**DG**^{a} **c** = **VS d** = **H e** = **UY f** = **T CF**] 2 post *κατέπληττε* add. *ποτε* **d** | *βουκεφάλᾳ* **dY** ‖ 3 *τὸν δὲ ἵππον*] *ὃν* Her. | *δὲ*^{1} om. **a** | *χαλινῷ* **b** | *μήτε δὲ* **bcYfF** *μήτε* **adU** *μηδὲ* **C** Her. ‖ 4 *ἦν*] *καὶ* *η* | *ἀτιθάσευτον* **aAcfC** *ἀτιθάσσευτον* *η***dY** Boiss. *ἀτιθάσευτος* **U** Her. *ἀτίθασον* **F**^{ac} *ἀτίθασσον* **F**^{pc} | *τὸ ζῷον* **abSYCF** *ζῷον* **df** *τὸ θηρίον ζῷον* **V** om. **U** Her. ‖ 5 *ἵππος εἶναι* transp. *η* Her. Boiss. | *καὶ*^{1} om. **dF** ‖ 7 *πραΰτητι* **f** *πραότητα* **U** | *μετεκέρασεν* **U** ‖ 9 *ἐπήκοος* Her. ‖ 10 *τῇ* om. **VC** | *βουκεφάλας* **dY** | *ἵππος* om. **b** | *ἐπείθετο*] *ὑπέκειτο* **C**

47 [**a** = **P b** = **A** + *η* = **ERML**^{a}**D c** = **VS d** = **H e** = **U CF**] 1 *ἀρνῶνι* **aV** ‖ 3 *οἶδ᾿ ὅπως* **ae** *οἶδα πῶς* **bcdCF** ‖ 4 *μεγάλοις δώροις*] *μεγαλοδώροις παροχαῖς* **a** Her. Boiss. | *μικρὰς*] *μεγάλας* **e**

48 [**a** = **P b** = **A** + *η* = **ERML**^{a}**DNG**^{a} **c** = **VS d** = **H e** = **U f** = **Z CF**] 1 inscr. om. **Nf** ‖ 2 *λοιδορούμενός τε καὶ ὑβριζόμενος* **f** ‖ 3 *ὕβρεις*] *τέρψεις* *η* | *προσδέχονται* **e** Her. | *δὲ* om. **de** | *πολλάκις* post *μώλωψιν* transp. **bS** ‖ 5 *τρυγήσειας* **S** *τρυγήσαις* **d**

49. *Λεωνίδης Περιάνδρῳ*

Ἠιδέσθη καὶ Πρίαμον ὁ τῆς Θέτιδος πρεσβευόμενον — καὶ πολιὰν γὰρ ἐχθρῶν ὁ τοῦ Πηλέως ᾐσχύνετο — καὶ δίδωσι τῷ πατρὶ τεθνηκότα τὸν παῖδα, δυστυχεστάτῳ φιλοτιμούμενος δώρῳ τὸν Πρίαμον. καὶ τοῦ μὲν τὴν τόλμαν τεθαύμακα, τοῦ δὲ τὴν φιλανθρωπίαν ἐπῄνεσα. γίνου μοι καὶ αὐτὸς Αἰακίδης, καὶ πολιᾶς προσίεσο δάκρυα, τὸν παῖδά μοι ζῶντα δωρούμενος. δυστυχοῦμεν γὰρ καὶ ἡμεῖς ὥσπερ καὶ Πρίαμος· οὐ γὰρ ἂν ὄντα σε πολέμιον ὑπὲρ παιδὸς ἐπρεσβεύσαμεν, δακρύοις, οὐ μέλανι, τὰ τῆς ἐπιστολῆς ἐγχαράξαντες γράμματα. ἀλλ' εἰ μὲν τῆς ἴσης καὶ σὺ φιλανθρωπίας ἐρᾷς ἐπιτεύξασθαι, προφθανέτω τὸ δῶρον τὴν αἴτησιν· εἰ δὲ μὴ λόγος παρὰ σοὶ βασιλεύει, ἀλλὰ θυμός τε καὶ λύπη τὰ πρεσβεῖα κεκλήρωται, πρὸς ὀλίγον μὲν εὐφρανθήσῃ, λυπηθήσῃ δὲ μειζόνως, ἀφιλοσόφου θυμοῦ μεγάλας καὶ τὰς ποινὰς εἰσπραττόμενος.

50. *Καλάμων Σπείρωνι*

Εἰ γεωργὸς εἶναι βεβούλησαι, τῶν πολιτικῶν θορύβων ἀφίστασο. εἰ δὲ ῥήτορες παρὰ σοὶ καὶ δικαστήρια καὶ βήματα περισπούδαστα, τὴν δίκελλαν ἀφείς, καλαμῖδα καὶ χάρτας ἀράμενος ἐς κόρακας χώρει, γερόντιον. οὐ γὰρ συκοφάντας ἄνδρας καὶ τὸ 'ἄνδρες δικασταί' φθεγγομένους πυκνότερον ἡ τῶν γεωργῶν πολιτεία προσίεται.

51. *Ῥοδόκλεια Ὑψιπύλῃ*

Τὸν Πειραιᾶ χθὲς τῇ νυκτὶ περιεπόλουν· καὶ τὸν σὸν ἐραστὴν μετὰ τῆς Χρυσίππης ἑώρακα, καὶ μειράκιον ἐδᾳδούχει, καὶ προπόμπιος ἡ φιλία

49 2–4 cf. Hom. Il. XXIV 485–620 || 2–3 cf. Hom. Il. XXIV 516 || 4–5 cf. Achill. Tat. IV 4, 7 || 8–9 cf. Gregor. Naz. Orat. I 6 (PG 35, 400 B); Tzetzes Chil. V 349 || **50** 2 cf. Alciphr. Ep. II 13, 1

49 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DG^{a}** **c** = **VS** **d** = **H** **e** = **Y** **f** = **ZT CF** (usque ad 4 *δυστυχεστάτῳ φιλοτιμούμενος*)] 1 *λενίδης* **a** || 2 *πρεσβευόμενος* Her. Boiss. *θαυμαζόμενον* **e** || 5 *τόλμην* *η* | *φιλανθρωπίαν*] *φιλίαν* **a** | *γενοῦ* **ZC** Her. || 6 *προίεσο* **A** *ἐλέησον* *η* Boiss. || 7 *καί*^{1} om. **Z** Her. | *καί*^{2}] *ὁ* Her. *καὶ ὁ* **b** Boiss. om. **ST** || 8 *ἐπρεσβεύομεν* **S** Her. *ἱκετεύσαμεν* **d** || 9 *καὶ σὺ τῆς ἴσης* transp. **aV** | *ἴσης*] *σῆς* **b** || 10 *ἐπιτεύξεσθαι* **d** || 11 *βασιλεύοι* **abV** Boiss. | *τε* om. **Z** Her. | post *λύπη* add. *παρὰ σοὶ* **a** || 12 *κεκλήρωνται* **a** | *δὲ* om. **eT** | *μειζόνως*] *μεῖζον ὡς* Nissen || 13 *μεγάλας* om. **S** | *καὶ* om. **eC** Her.

50 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}D** **e** = **VS** **d** = **H** **e** = **U C**] 2 *βεβούλευσαι* **a** || 3 ante *ῥήτορες* add. *καὶ* **a** | *δικαστήριον* **e** | *βῆμα* **e** | *περισπούδαστον* **e** || 4 *καλαμῖδας* **a** om. **e** | *κόρακος* **b** || 5 *οὐ*] *καὶ* **C** *τοὺς* **a** Her. Boiss. | *τὸ – δικασταί*] *τὸ ἀνδράεσι δικασταῖς* **A** *τοῖς ἀδρανέσι δικασταῖς* **d** || 6 ante *προσίεται* add. *οὐ* **aC** Her. Boiss.

51 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DG^{a}** **c** = **VS** **d** = **H** **f** = **Z C**] 1 *ῥοδοκλεία* **V** *ῥοδοπλεία* **b** *ῥοκλεῖα* **C** | *ὑψιπύλῳ* **d** || 2 *περιπόλουν* **a** || 3 *προπόμπιον* **S** *προπομπὶς* **f** *προπομπὸς* Her.

γραῦς ὑπῆρχεν Ἀβρότονον. ὅτε δὲ τὴν προαγωγὸν προσεῖπον ἐγώ, ἀπέσβεσε τὴν δᾷδα ὁ παῖς· τοῦτο γὰρ ὁ σὸς ἐνεκελεύετο ἐραστής, ἵνα τῷ σκότῳ τὸ πραττόμενον διαλάθοι. οὐκοῦν μήτε ὀμνύντι μήτε κολακεύοντι πείθου· γλώττης γὰρ σόφισμα δεινότατόν ἐστιν ἑκάτερον.

52. *Σωκράτης Κλέωνι*

Ὅταν οἱ λύκοι μεγάλης περιτύχωσι θήρας καὶ τῷ κόρῳ φιλοσοφήσωσιν ὥσπερ ἐγκράτειαν ἀσκοῦντες, ἀρνῶν ἔχουσι τὸ ἦθος, καὶ τὸ ἄγριον πρὸς τὸ φιλάνθρωπον μεταβάλλουσι, καὶ θαυμαστήν τινα δικαιοσύνην ὁ κόρος ἐκδιδάσκει τοὺς λύκους· μετὰ τῶν προβάτων συννέμονται μηδὲν τὸ ποίμνιον λυμαινόμενοι καὶ σπένδονται τοῖς ποιμέσι καὶ τὴν σωφροσύνην γεραίρουσιν, ἄχρις ἂν αὐτοῖς ἡ γαστὴρ ἀναπνεύσειεν. ἀλλὰ σὺ καὶ τῶν λύκων τὸν τρόπον ἀναιδέστερον κέκτησαι, καὶ μᾶλλον πλεονεκτικώτερον τὸ ἀκόλαστον ἔχεις, ὅταν ὁ χρυσὸς ὑπεραναβλύσῃ τῶν σῶν θησαυρῶν, ὥσπερ οἱ μέθυσοι. διψῶσι γὰρ ὅταν κορεσθῶσι τοῦ οἴνου, καὶ σοφίζονται τῇ μέθῃ μέθης ἐπίτασιν· διὰ γὰρ τὴν ἐς ἄκρον εὐεξίαν πρὸς τὴν ἐναντίαν διάθεσιν μεταπίπτουσι, περιγανοῦντος τοῦ οἴνου τοὺς οἰνόφλυγας καὶ ἐκκαίοντος. ἄπαγε τῆς ἀκολάστου μέθης, ἀκόλαστε, ἵνα μὴ πρὸς τὴν ἐναντίαν ῥοπὴν μεταχθῇς, ἀφαιρουμένης τῆς τύχης ἅπερ καὶ δέδωκε· τοιαύταις γὰρ τοὺς ἀχαρίστους ποιναῖς σωφρονίζεται.

52 2–7 cf. Aelian. Nat. anim. IV 15; M. Philes De propr. anim. 1110–1116 || 11 cf. Hist. II 17, 12 et VII 6, 3; Plut. Non posse suav. vivi 5 (1090 C); Quaest. conviv. 682 E || 13 cf. De vit. term. I 47; Hist. IV 5, 7; Quaest. phys. 33, 17; Ep. 61, 19

51 4 *ἀβρότονος* **C** *ἀβρότονος* **d** | *προσαγωγὸν* **VC** | *ἐγώ* om. **A** || 4–5 *ἐγώ – γὰρ* om. *η* || 5 *δᾷδα*] *λαμπάδα* **A** | *ὁ σὸς* post *ἐνεκελεύετο* transp. **b** Boiss. | *ἐνεκελεύετο*] *ἐνετέλετο* **f** *ἐνετείλατο* Her. || 6 *σκότει* **aH**[s1]**C** | *τὸ* om. **f** | *διαλάθῃ* **Sf** | *ὀμνύοντι* **cf** || 7 *δεινότατον* **cfC** *δεινότερον* **d** *δεινόν* **ab** Boiss.
52 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a]**DG**[a] **c** = **VS** **d** = **H** **e** = **YK** **f** = **ZTQ** **C**] 1 *κλεονίκῃ* **c** *κλεονίκῳ* **K** | inscr. om. **Q** || 2 *μεγάλης . . . θήρας* **befC** *μεγάλῃ . . . θήρᾳ* **ade** Her. Boiss. | *ἐπιτύχωσι* **ZQ** || 3 *ἀσκοῦντες* **ade** om. **befC** Her. | *τὸ*[1] delere mavult Nissen | *πρὸς*] *εἰς* **Z** Her. || 4 *τὸ* om. **b** | *φιλανθρωπότερον* **a** || 5 post *μετὰ* add. *γὰρ* **d** || 5–6 *μηδὲν – σωφροσύνην* om. **b** || 7 ante *γεραίρουσιν* add. *καὶ* **b** | *ἀναπνεύσειεν* **abVZQC** *διαπνεύσειεν* **SdeT** *ἀναπνεύσῃ* Her. || 9 *τὸ ἀκόλαστον* om. **Z** Her. | *ἔχεις* om. Her. | *ὑπεραναβλύζῃ* *η* Boiss. || 11 *ἐς* *η* *εἰς* **aAcdefC** Her. Boiss. (cf. Hist. VII 6, 3) || 12 *περιγανοῦντος* **bSQ**[ac] *περιγαννύντος* **aVdeZC** Her. Boiss. *περιγαννοῦντος* **Q**[pc] *περικρατοῦντος* **T** (cf. Hist. I 12, 13) || 13 *ἐκκάοντος* Her. || 14 *ἀφαιρούμενος* **b** || 15 *σωφρονίζει* Her.

53. *Μίνθης Ῥίζωνι*

Ὁ ποταμὸς Χρύσασπις τοῦ γηδίου τοῦ ἡμετέρου μοῖραν ἐσύλησε καὶ τῷ σῷ ἀγρῷ προσεκύρωσε, μωρόν τι ποιῶν καὶ ἠλίθιον· ἀλλοτρίοις γὰρ δώροις τὸ φιλότιμον ἐπαγγέλλεται. ἀλλ᾽ εἰ μὲν δικαστηρίων φόρτον ἐπὶ τοῖς ὤμοις φέρειν οὐχ οἷός τε εἶ, δῶρα ποταμῶν μὴ προσίεσο· εἰ δὲ τῶν ἀλλοτρίων ἐρᾷς, μετ᾽ οὐ πολὺ δακρύσεις τῶν ἰδίων στερούμενος καὶ ψήφοις διαιτητοῦ τιμωρούμενος.

54. *Μήδεια Ἰάσωνι*

Οὐδὲν τοῖς ἀνθρώποις οὔτε περισπούδαστον οὕτως, οὔτε δὲ προσκορέστερον ἐρωτικῆς καθέστηκε σχέσεως. ποῦ σοι τῶν δακρύων τὰ ῥεῖθρα, ἃ τοῖς ἡμετέροις ποσὶν ἐπεκύμαινες; ποῦ σοι διέπτησαν τὰ μυρία γένη τῶν λόγων ἐκείνων τῶν τε ῥημάτων τὸ ὑφειμένον τε καὶ χαμαίζηλον; οἶμαι μήτε τοὺς δανειζομένους τοιούτοις πρὸς τοὺς δανειστὰς κεχρῆσθαι τοῖς ῥήμασι, μήτε τραυματίαν ταῖς τῶν πολεμίων ἁλόντα χερσίν. ἡ σύντονος ἀγρυπνία παρῴχηκε, τὰ ἑωθινὰ καταλέλοιπας ᾄσματα· παρώσω τὰς μυρίας πρεσβείας, τὰς σπονδὰς ἃς διὰ τῶν προαγωγῶν γυναίων ἐσπείσω μοι. πρὸς ἑτέραν ἄφνω παρθένον ὠλίσθησας, ὥσπερ οἱ καθεύδοντες ἀμέσως ἀφ᾽ ἑτέρας πρὸς ἑτέραν ἐνυπνίων ὑπόθεσιν μεταβαίνοντες. ἐπαινῶ τοὺς ζωγράφους· ὑποπτέρους γὰρ τοὺς Ἔρωτας ἀναγράφουσι καὶ τέχνῃ διαμορφοῦσι τὰ πράγματα καὶ τοῖς πλάσμασι τὴν ἀλήθειαν τερατεύονται.

54 4 cf. Hist. I 1, 21 et I 2, 3 || 12 cf. Plat. Alc. I 135 E; Eubulus fr. 41 Kock

53 [**a** = **P** **b** = **A** + **η** = **ERML^a D** **c** = **VS** **d** = **H** **e** = **U** **f** = **Z C**] 1 *μίνθη* **bS** *Μίνθων* **e** Her. Boiss. | inscr. om. **f** || 2 ante *Χρύσασπις* add. *ὁ* **S** Her. | *χρύσαπις* **V** *χρύσαππις* **C** *χρύσιππος* **b** || 3–4 *ἀλλοτρίοις – φιλότιμον* **e** *ἀλλ᾽ ὅτι μόνον* **VC** *ἀλλότιμον* **S** *ἀλλότριον* **b** *ἄλλό τι μοι μόνον* **d** *ἄλλῳ τὶ ἐμὸν* **f** om. **a** || 4 *ἐπαγγέλλεται* om. **a** | *δικαστήριον* **A** *δικαστηρίου* **η** || 6 *δακρύσεις*] *θρηνήσῃς* **C** | *ἰδίων*] *οἰκείων* **f** Her. | *στερόμενος* Her. || 6–7 *καὶ – τιμωρούμενος* om. **b**
54 [**a** = **P** **b** = **A** + **η** = **ERML^a DNG^a** **c** = **VS** **d** = **H** **f** = **Z C**] 1 inscr. om. **N** || 2 *οὔτε*¹ om. **b** | *δὲ* **bc** om. **adfC** Her. | *προσκορέστερον* **η** *προσκορὲς* **acdfC** *προσκόρεστον* **A** || 3 *σχέσεως*] *χρήσεως* **f** Her. || 4 *ὑπεκύμαινες* **S** *ἐπεκύμαινε* **η** Her. Boiss. | *ποῦ*] *ποῖ* **S** Her. | *διέπτησαν* **bVf** *διέστησαν* **aSC** *διέπτη* **d** || 5 *τῶν*² om. **a** | *τε*¹ om. **aC** || 8 *παρεώσω* Her. || 9 post *πρεσβείας* add. *τοὺς ὅρκους* Boiss. | post *σπονδὰς* add. *τοὺς ὅρκους* **bcdfC**, quae verba glossema ad verba *τὰς σπονδὰς* esse suspicor, familiae **a** et Herchero consentiens, qui *τοὺς ὅρκους* omittunt | *ἃς*] *οὓς* **Sd** | *προσαγωγῶν* **abVC** || 11 *ἀμέσως* **bS** *ἀμερίμνως* **aVfC** Her. *ἐμμερίμνως* **d** | *ἀφ᾽ ἑτέρας* **ηV** *ἀφ᾽ ἑτέραν* **aAC** *ἀφ᾽ ἑτέρων* **Sd** om. **f** Her. | *μεταβαίνουσιν* **ad** Her. Boiss. || 12–13 *καὶ – πράγματα* om. **f** Her.

55. *Παρμενίδης Χρυσοσθένει*

Τὸ μὲν ἐγρηγορέναι διὰ παντὸς ἀθανάτου φύσεως ἴδιον, ὑπνοῦν δὲ μετρίως τῶν καθ᾿ ἡμᾶς ἐστιν, ὡς ἔοικε, καὶ ἀνθρώπινον· τὸ δὲ πέρα καθεύδειν τοῦ πρέποντος τοῖς τεθνηκόσι μᾶλλον ἤπερ τοῖς ζῶσιν ἁρμόδιον. τὰς πλείστας, Χρυσόσθενες, τῆς σῆς ζωῆς μοίρας ἀφήρησαι· ἀεὶ γὰρ καθεύδεις, καὶ τῆς ἐνθάδε μεταβέβηκας λήξεως οἷά τις Ὀδυσσεύς, τῆς καθ᾿ ἡμᾶς οἰκουμένης ἔξω πλανώμενος, ὠκεανῷ τινι τῷ ὕπνῳ νηχόμενος καὶ μήτε ἀνίσχοντα μήτε δυόμενον προσβλέπων τὸν ἥλιον.

56. *Δάφνων Αἰγείρῳ*

Αἱ συκαῖ σου πρὸς τὸ ἐμὸν γήδιον τὰς ῥίζας ἡπλώσαντο, ὑπὸ τὴν σὴν ἐξουσίαν ἔτι τελεῖν οὐκ ἐθέλουσαι, καὶ τὸ σὸν ἀφελόμεναι δίκαιον φιλοτιμοῦνταί μοι τὰ κνήματα· τοῖς ἐμοῖς γὰρ ηὐτομόλησαν ὅροις. καὶ τοῦτο νόμος ἐστὶ γεωργοῖς· καὶ γεγηρακόσι νόμοις πείθου, γερόντιον. εἰ δὲ τοῖς παρ᾿ ἡμῖν ἔθεσιν ἀντιφθέγγεσθαι θέλεις, ὡς καινὸν ὄντα σε νομοθέτην καὶ πρόσφατον τῶν γεωργικῶν συλλόγων ἐκβάλλομεν καὶ τῶν ἡμετέρων ὅρων ἐξοστρακίζομεν ὡς ἀλλότριον.

57. *Πυρρίας Φιλωνίδῃ*

Εἰ ἐρᾷς, μὴ κατηγόρει τῆς ἐρωμένης ἀπρέπειαν. οὐ δύναται γὰρ μὴ τυφλώττειν ἐρῶσα ψυχή· ἀήττητος γὰρ ἡ τῶν ἐρώντων προσπάθεια. εἰ

55 2 cf. Hom. Od. XIX 591–592 ‖ 6 cf. Hist. I 1, 1 | cf. Hist. dial. 14; Quaest. phys. 15, 2 ‖ **56** 5 cf. Hist. IV 14, 7 ‖ 6–7 cf. Plut. Quaest. nat. 2 (912 A) ‖ **57** 2–3 cf. Anth. Pal. V 89 | cf. Plat. Leg. 731 E; Plut. Quom. adul. ab am. intern. 1 (48 F) ‖ 3 cf. Longus IV 16, 3

55 [a = P b = A + η = ERML^a DG^a c = VS d = H e = UYI f = ZT C] 2 *ὕπνου* **S** Boiss. (post *μετρίως* addito *μετέχειν*) ‖ 3 *ἐστιν* om. **Z** Her. | *ὡς ἔοικε* om. **dUI** ‖ 3.4 *πέρα καθεύδειν* **bdUYC** *πέραν καθεύδειν* **cIf** *ὑπερκαθεύδειν* **a** ‖ 4 *ἤπερ*] *ἢ* **adUI** ‖ 5 *σῆς* om. **SZ** Her. ‖ 6 *μεταβέβληκας* **dT** *μεταβέβησας* **Z** | *τις* om. **dUI** ‖ 7 *ὠκεανῷ*] *ἀκελνῷ* **V** | *νηχόμενος*] *χρώμενος* **b** *νιχόμενος* **A^mg** ‖ 8 *βλέπων* **YC**

56 [a = P b = A + η = ERML^a D c = VS d = H CF] 1 *αἰγήρῳ* **a** ‖ 2 *ἡπλώσαντο* **cdF** *ἥπλωσαν* **b** Her. Boiss. *διήπλωσαν* Nissen (aut verborum ordine inverso *τὰς ῥίζας πρὸς τὸ ἐμὸν γήδιον ἥπλωσαν*) *ἥπλωσαν τὸ* **aC** ‖ 3 *ἀφελκόμεναι* **a** Boiss. ‖ 4 *ὅροις*] *ἔργοις* **b** ‖ 5 *πείθου*] *πείθουσι* **a** *πείθου σὺ* Boiss. ‖ 7 *ἐκβάλλομεν* **bcF** *ἐκβάλλωμεν* **d** *ἐκβάλωμεν* **aC** *ἐκβαλοῦμεν* Her. ‖ 8 *ὅρων* om. **aVCF** | *ἐξοστρακίζομεν* **bF** *ἐξοστρακίσομεν* **ac** Her. *ἐξοστρακίσωμεν* **dC**

57 [a = PW b = A + η = ERML^a DNG^a c = VS d = H f = Z C] 1 *πυρρίας* **η** (non **N**) **d** *πυρίας* **Pc** *πυριὰς* **A** *κυρίας* **f** *ὑρίας* **C** | *μιλονίδῃ* **f** *ἰλληνίδῃ* **C** | inscr. om. **WN** ‖ 2 ante *τῆς* add. *τὴν* **f** ‖ 3 *ἐρώτων* **S** *ἐρωμένων* **f**

δὲ οὐκ ἐρᾷς, τί δακρύεις καὶ στένεις, καὶ κλύδωνα σαυτῷ προσφέρεις αὐθαίρετον; ἀδικεῖς οὖν ἑκάτερον, ποτὲ μὲν ὡς ἐραστὴς ἐφιέμενος, ποτὲ δὲ ὡς ἀνταγωνιστὴς βδελυττόμενος.

58. *Δαμάσκιος Ἀντιγόνῳ*

Εἰ μὴ βίου Σωκράτης ἐνέχυρα κέκτηται, παιδαγωγὸς τοῦ σοῦ μὴ προχειριζέσθω παιδός. ἐνέχυρα δὲ βίου παῖδες νοείσθωσαν· ὃν γὰρ εἶναι πατέρα φύσις ἐδίδαξε, τοῦτον καὶ παιδαγωγεῖν ἐστιν ἀξιόπιστον, πείρᾳ μαθόντα καὶ γεννήσεως σχέσιν καὶ στοργῆς ἀλγηδόνας.

59. *Κηπίας Κοριάννῳ*

Συνέριθος ἔσο μοι μεσημβρίας ὥρᾳ, Κορίαννε· αἱμασιᾷ γὰρ τὸν ἀγρὸν περιφράξαιμι. κακοὺς γὰρ τοὺς ὁδίτας κεκτήμεθα· οὐχ οἷός τέ εἰμι καὶ ζῴοις ἀλόγοις καὶ τοῖς ἀνθρώποις συμπλέκεσθαι. ὁ λαγὼς τὰς ἀμπέλους, ἡ δὲ κάμπη τὰ λάχανα ὄλλυσι. τί δῆτα περὶ τῶν ἀσπαλάκων καὶ λέξαιμι; φοβερὸν γὰρ τῷ γεωργῷ τὸ κακὸν καὶ δυσανταγώνιστον τὸ πολέμιον. διό μοι συμπαραστάτει καὶ τῶν πόνων συλλαμβάνου· κἀγὼ δέ σε αὖθις τοιούτοις ἔργοις ἀμείψομαι. οὕτω γὰρ καὶ οἱ μύρμηκες συμμαχοῦντες ἀλλήλοις καὶ τὸν μόχθον σοφίζονται καὶ τῶν μεγίστων πόνων ἐφάπτονται.

57 4–5 cf. Trag. Adesp. fr. 568 Nauck || **59** 2–3 cf. Men. Dysc. 376; Lib. Declam. 27, 21 (VI 560 Förster) || 8–9 cf. Aelian. Nat. anim. II 25

57 4 *δὲ*] *δ'* **S** Her. | *σαυτὸν* **A** || 6 *δὲ* om. **f** | *ἀγωνιστὴς* **d**
58 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a]**DG**[a] **c** = **VS** **d** = **H** **e** = **U** **f** = **ZTQ** **C**] 1 *δάμασκος* **b** *δαμάσιος* **Z** *πρωταγόρας* **e** | *Ἀντιγόνῳ*] *κρίτωνι* **e** || 3 *γὰρ* om. **e** || 4 *ἡ φύσις* **Z** || 5 *μανθάνοντα* **b** | *καὶ*[1] om. *η* | *ἀλγηδόνα* *η***c**
59 [**a** = **P** **b** = **A** + *η* = **ERML**[a]**D** **c** = **VS** **d** = **H** **e** = **U** **f** = **Z** **C**] 1 *κοριαννῷ* *η* *κοριάνῳ* **Sf** || 2 *κοριαννὲ* *η* *κορίανε* **Sf** | *αἱμασιαῖς* **e** | *γὰρ* om. **e** || 3 *περιφράξαιμι* **acf** *περιφράξοιμι* **dC** *πεφράξοιμι* **A** *πεφράξομαι* *η* *περιφράττοντι* **e** | post *κεκτήμεθα* add. *γείτονας* **e** Her. Boiss. || 4 *ὁ λαγὼς* **e** *ὁ λαγωὸς* **b** *ἡ λαγωὸς* **C** *οἱ λαγὼς* **ad** *οἱ λαγωοὶ* **cf** | post *ἀμπέλους* add. *λυμαίνοντο* **d** || 5 *δὲ* om. **b** | *καὶ* om. **b** | *λέξαιμι* *η***ef** *λέξοιμι* **aAcdC** || 6 *δυσκαταγώνιστον* **e** | *τὸ*[2] om. **ad** Her. | *πολέμιον* om. Her. || 7 *συμπαραστάτει* **Sd** *συμπεριστάτει* **aVfC** *συμπαρατάττου* **be** Her. Boiss. | *συλλαμβάνου τῶν πόνων* transp. Nissen | *συναντιλαμβάνου* **b** | *δέ* om. **e** Her. | *αὖθις*] *αὖ τοῖς* **e** Her. Boiss. || 8 *οἱ* om. **e** Her. || 9 *τῶν μόχθων* **f** *τῷ μόχθῳ* **e**

60. Ἄνθεια Ὠρίωνι

Ἅπαντα τῷ γυναικείῳ φύλῳ δεδούλωται. Λαΐδος ὁ Διογένης ἐρᾷ, Σωστράτης ὁ Φρύγιος. ἡ τῆς φιλοσοφίας κομψότης διόλωλε· τὸ σεμνὸν ἦθος παρώσαντο, τὸ αἰθέριον καταλελοίπασι φρόνημα, τὸ μετάρσιον ἐπάγγελμα διεψεύσαντο· ἅπαντα φροῦδα τὰ πρὶν αὐτοῖς μεμελετημένα πρὸς ἄσκησιν. ἄωρόν μοι παίγνιον εἶναι δοκεῖ ἄνδρα πρεσβύτην, πολιὰν αἰδέσιμον ἔχοντα, ὑπερωφρυωμένον ἐπὶ σεμνότητι, νεάνιδος ἑταίρας ἐρᾶν. ἐγὼ δὲ καγχάζω καὶ τὸν γέλωτα φέρειν οὐ δύναμαι, ὁπηνίκα συναντήσαιμι τοῖς γεροντίοις· πολλὰ γὰρ τῆς Ἀφροδίτης κατηγόρουν τὸ πάλαι, καὶ τοὺς ἐρῶντας μανίαν νοσεῖν αὐθαίρετον ἔφασκον, ἔφεσιν ἀκολάστου ψυχῆς τοὺς ἔρωτας ὁριζόμενοι. ἅπαντα φέρειν σοφόν· τὸ δὲ ἐλπίζειν λίαν ἐστὶν ἐμφρονέστερον· πολλὰ γὰρ χρόνος καὶ τύχη δεδύνηται.

61. Σώστρατος Λυσιστράτῳ

Ἐπειδή σοι πολλὰ καὶ θαυμαστὰ παραινέσαντες τὸν Πηνελόπης ἐδόξαμεν ὑφαίνειν ἱστόν, φέρε δῆτα φέρε καὶ μυθικῶν ἀπαρξώμεθα λόγων· ἴσως γὰρ τῆς σῆς διανοίας ἐφίκοιτο δὴ τὰ λεγόμενα.

Ἐν τοῖς νεοβλάστοις τῶν δένδρων ὁ τέττιξ ὀχούμενος ὥρᾳ καύματος ἐκελάδει διάτορον, καὶ τῆς ἑαυτοῦ ἁρμονίας αἰσθανόμενος ἐπετέρπετο.

60 7 cf. Alciphr. Ep. IV 7, 1 || **61** 2–3 cf. Hom. Od. II 104sq.; Plat. Phaedo 84 A; Aristaen. Ep. I 28 (p. 64, 17 Mazal); Niceph. Greg. Hist. V 2, 5 || 5–17 cf. Aesop. Fab. 373 Perry; Aphthon. Progymn. I (p. 2, 3–12 Rabe); Babrius Fab. 140 || 5 cf. Hist. II 11, 7; Quaest. phys. 30, 13–14

60 [**a** = **P** **b** = **A** + *η* = **ERML**^{a}**DNG**^{a} **c** = **VS** **d** = **H** **e** = **I** **f** = **Z** **C**] 1 *ἄνθεια* **b** (non **N**) **S** *ἄκθεια* **a** *ἀνθία* **VdeC** *ἀνθέα* **f** | *ὠρίωνι* **aSd** *ὠριάννῃ* **Ve** *ἀρίωνι* **f** *βρίωνι* **b** (non **N**) *πριάμνῃ* **C** | inscr. om. **N** || 2 *ἅπαντα* **a***η* *ἅπαν* **AcdefC** | *λαΐδιος* **a** *λαιδας* **A** | *ὁ*] *τῆς* **C** | *διογένους* **AC** *δημοσθένης* **Vf** || 3 *σωστράτης* **b** *σωκράτης* **acdefC** | *ὁ Φρύγιος*] *φρυγίνης* **de** *φρυγίνας* **S** || 4 *παρεώσαντο* Her. || 8 *καγχάζω*] *κράξω* **f** || 9 post *γεροντίοις* add. *τοιούτοις* Nissen | *κατηγοροῦντο* **C** *κατηγοροῦνται* **f** | *τὸ* om. *η***defC** || 10 ante *τοὺς* add. *πρὸς* **b** Boiss., qui et post *καὶ* et post *πρὸς* interpungit, ne *πρὸς* cum *τοὺς ἐρῶντας* iungatur || 11 *ἐρῶντας* **f** | *ἅπαντα*] *ὡς πάντα* **f** || 12 *ἐλπίζειν*] *ἐμπαίζειν* **d** | *ἐμφρονέστερον* **abcC** *ἐμφρονέστατον* **d** *ἐμφερέστερον* **f** *ἀφρονέστερον* **e** | *δεδύνηνται* **S** Her.

61 [**a** = **P** **b** = **A** + *η* = **ERML**^{a}**DG**^{a} **c** = **VS** **d** = **H** **e** = **I** **f** = **O** (a 5 *τῶν δένδρων ὁ τέττιξ*) **TQ** **CF** (usque ad 15 *θυρῶν ἀπεπέμπετο*)] 1 *σωσίστρατος* **S** *σωσίπατρος* **e** || 2 *σοι* om. **e** | ante *Πηνελόπης* add. *τῆς* **a** Her. Boiss. || 3 *φέρε*^{2} om. **VdeF** | *ἀπαρξόμεθα* **VTC** *ἀρξώμεθα* **Q** || 4 *δὴ*] *ἂν* **F** || 6 *διάτορον* om. **b** | *αἰσθόμενος* **VOC** | *ἐτέρπετο* **TQ**

ὁ δὲ μύρμηξ παρῆν τοῖς θερίζουσι καὶ περὶ τὴν ἅλω τὰς διατριβὰς ἐπεποίητο καὶ τοῖς κόλποις τῆς γῆς τὴν ἑαυτοῦ τροφὴν ἐθησαύριζεν, οἷα προμηθέστερος ὢν ὁ μύρμηξ τοῦ τέττιγος. παρῳχήκει τοίνυν ἐκ τῶν βορείων ὁ ἥλιος, ἀπῆν τὸ μετόπωρον καὶ χειμὼν ἐπεφοίτα τῇ γῇ· ἡ δὲ θάλαττα τὰς γαληναίας σπονδὰς διελύσατο. οἱ πλωτῆρες τοὺς λιμένας ὡς σωτῆρας ὄντας ἠσπάζοντο, ὁ γεωργὸς ἐπὶ τὴν ἑαυτοῦ ἀλέαν κατέφευγε, καὶ ὁ μύρημξ ἐν ταῖς λαγόσι τῆς γῆς καὶ τοὺς πόνους εἶχεν ἑστίασιν ἐπιτήδειον. ἱκέτευε δὴ ὁ τέττιξ τὸν φιλόπονον μύρμηκα τῶν θησαυρῶν μετασχεῖν· ὁ δὲ τὸν μελῳδὸν τῶν ἑαυτοῦ θυρῶν ἀπεπέμπετο, πολὺν αὐτῷ τῆς ἀργίας καταχέων τὸν γέλωτα, καὶ τῶν θερινῶν ᾀσμάτων αὐτὸν ἀνεμίμνησκε. διόπερ ὁ μὲν εἶχε λιμὸν τὴν ᾠδήν, ὁ δὲ τοὺς πόνους τροφήν.

Ἁρμόττει σοι ὁ μῦθος, Λυσίστρατε· ἀργὸς γὰρ ὢν ἀθλιώτερος εἶ τοῦ πυρέσσοντος, ἐσθίων μάτην διπλάσια. ἄπαγε δῆτα τῆς ἀργίας, ὦ βέλτιστε· τὰ τῆς φύσεως γὰρ δῶρα κατήσχυνας, τηλικαύτην ῥώμην καὶ εὐρωστίαν τοῦ σώματος ἀκόσμητον παρεών, ἐπιστήμην πόνων ἀσκεῖν μὴ βουλόμενος.

62. *Τεττίγων Πορφυρίωνι*

Ὁ Κορύδων εὐδαίμων ἀνὴρ καὶ τῆς τύχης φίλος, ὡς ἔοικε. αἱ ἄμπελοι ταῖς βότρυσιν ἄχθονται, αἱ ἀχράδες βρίθουσι καὶ τῶν τρυγώντων ὀρέγονται, αἱ ἐλαῖαι τῇ γῇ προσνενεύκασι καὶ τῷ πλήθει τοὺς ἐνεγκαμένους κλάδους βιάζονται, οἱ λειμῶνες κατάκομοι, ἡ ἅλως ταῖς Νειλῴαις ἐφάμιλλος αὔλαξιν. ἀλλὰ καὶ τὸ γύναιον μετὰ τῶν ἄλλων εὐφορεῖ τῷ ἀνδρί· τοσοῦτοι

61 10 cf. Hist. I 15, 1 ‖ 13 cf. Hist. II 7, 4 et IV 4, 14 ‖ 15–16 cf. Hist. II 2, 1 ‖ 18–19 cf. Men. Epitr. fr. 6 Koerte ‖ 19 cf. De vit. term. I 47; Hist. IV 5, 7; Quaest. phys. 33, 17; Ep. 52, 13 ‖ 20 cf. Soph. El. 609 ‖ **62** 3–5 cf. Quaest. phys. 34, 8–10 ‖ 4 cf. Aristoph. Vesp. 1110

61 7 *ἅλω* **bdfF** *ἅλωνα* **aceC** (cf. Hist. I 4, 2) ‖ 9 *ὁ μύρμηξ* om. **aT** ‖ 10 *καὶ* om. **F** | *ὁ χειμὼν* **bF** Her. Boiss. | *ἐπεφοίτα*] *ἀπήντα* **η** *ἅπαντα τα* **A** | *δὲ* om. **e** ‖ 11 *γαληναίας* **aTQC** *γαληνιαίας* **ηcde** *γαληνίαιας* **AOF** ‖ 12 *ὄντας* om. **aC** | post *ἠσπάζοντο* add. *καὶ* **b** | *ἑαυτοῦ*] *αὐτοῦ* **a** om. **TC** | *κατέφυγε* **dOT** ‖ 13 *καὶ*² om. **SdOQ** Her. Boiss. ‖ 14 *δὴ* **bdC** *δὲ* **aceOQ** Her. Boiss. *δῆτα* **TF** ‖ 15 *τὸν*] *τὸ* **η** | *αὐτῷ*] *αὐτοῦ* **S** Her. ‖ 17 *τρυφὴν* **beQ** ‖ 19 *δῆτα* om. **eT** ‖ 20 *γὰρ* ante *τῆς φύσεως* transp. **a**, om. **Q** Her. | *δῶρα* om. Boiss. ‖ 21 *παριὼν* **η** *παρορῶν* **C** | *ἐπιστήμη* **b**
62 [**a** = **P** **b** = **Λ** + **η** = **ERML**ᵃ**D** **c** = **VS** **d** = **H** **e** = **YK** **f** = **Z** **CF**] 1 *τεττιγίων* **VK** *τεττίγιων* **C** | inscr. om. **f** ‖ 2 *ὁ* om. **f** | *κρομύδων* **aC** ‖ 3 *ταῖς* **abVY** *τοῖς* **SdKfCF** | *ἄχθονται* – *βρίθουσι* om. **S** | post *τρυγώντων* add. *ἀνθρώπων* **K** Her. ‖ 4 *προσνενεύκασι*] *προστετήκασι* **f** | *κλάδους*] *οἱ κλάδοι* **V** om. **S** ‖ 5 *νειλῴαις* **deF**ˢˡ *νεολαίαις* **VC** Boiss. *νεολέαις* **af** *νελοαῖς* **b** om. **SF** ‖ 6 *εὐφορεῖ* **deF** *εὐφραίνει* **abSC** Boiss. *εὖ φρονεῖ* **Vf** | *τὸν ἄνδρα* **aηS** Boiss.

γὰρ παῖδες αὐτῷ, ὥστε καὶ Δαναὸν καὶ Αἴγυπτον ταῖς εὐτεκνίαις νικᾶν. ἄλλος μὲν γάρ ἐστιν ὑπομάζιος, ἄλλος τῆς γαλουχίας ἐπαύσατο, ἕτεροι δὲ ἕρπουσι μήπω τῆς ὀρθῆς βαδίσεως ἀπαρξάμενοι· ἔνιοι παρατραυλίζουσι καὶ τοὺς ὀδόντας ἀμείβουσιν, ἄλλοι τῆς ἀκμῆς ἐπιβαίνουσι καὶ τὸ βούπαιδες εἶναι κεκλήρωνται· καὶ σύριγγος δίκην αὐλῶν ἡ τῆς ἡλικίας αὐτοῖς τάξις συντέτακται. σὺ δὲ παρῄνεις τὸ θυγάτριον μὴ παρεγγυᾶν τῷ Κορύδωνι καὶ τὴν ἀγχιστείαν ἐκάκιζες, ὥσπερ ἀφοσιούμενος τὴν δυσγένειαν. οἴμοι βεβουκόλημαι ὁ δείλαιος, καὶ κοῦφον ἔσχον τὸ φρόνημα. τοῖς ἀνθρώποις ἀνόνητον ἡ εὐγένεια· πλούτου γὰρ παρὰ πᾶσιν οὐδὲν ἐνδοξότερον.

63. *Χρύσης Ἡφαιστίωνι*

Οὐκέτι τῆς Διοδότης ἐρᾷς. τὰς ἐρωτικὰς θρυαλλίδας ἀπέσβεσας· οὐ γὰρ ζηλοτυπεῖς ἐπ' αὐτῇ, ἐμφιλοχωροῦσαν τῷ Λυσιστράτῳ θεώμενος. φιλονεικότερον Ἐρώτων οὐδέν· καὶ πῶς, εἰ ἐρᾷς, τηλικαύτης ἀλγηδόνος φιλοσοφεῖς ἀνεχόμενος;

64. *Σωκράτης Μελανιππίδῃ*

Γυμνασταὶ μὲν καὶ παιδοτρίβαι ἀπαραίτητοι τοῖς παισὶν ὡς σωφροσύνης διδάσκαλοι. ἐπειδὴ γὰρ φρονήσεως ἔτι καὶ νόμων οἱ παῖδές εἰσιν ἀνεπίδεκτοι, ἀπειλαῖς χαλινοῦσι τὸ τούτων ἀκόλαστον· τοὺς γὰρ παῖδας λόγοις μᾶλλον ἢ μάστιξιν ἐκταράττομεν. ἐγὼ δὲ τὴν σὴν ἀναίδειαν ἄγαμαι· οὐ

62 7 cf. Quaest. phys. 29, 6 || **64** 3 cf. Philod. Volum. Rhet. I 383 Sudhaus

62 7 *ὥστε*] *ὡς* **de** Her. || 8–9 *ἕτεροι — ἕρπουσι*] *ἄλλος ἕρπει* **f** || 9 *ἀπαρξάμενος* **f** | *ἔνιοι παρατραυλίζουσι*] *ἄλλος παρατραυλίζει* **f** || 10 *ἀμείβει* **f** | *ἄλλοι — ἐπιβαίνουσι* om. **f** | *βούπαις* **f** || 11 *κεκλήρωται* **f** | *καὶ* om. **η** || 11–12 *αὐτοῖς τ. συντέτακται* **ASYF** *αὐτῷ τ. συντέτακται* **η** *τ. αὐτοῖς συντέτακται* **f** *τ. αὐτοῖς ἐντέτακται* **VdKC** *αὐτοῖς ἐντέτακται τ.* **a** || 13 *κρομύδωνι* **aAC** | *ὥ. ἀφοσιούμενος τ. δ.*] *ὥ. ἀποσειόμενος τ. δ.* **YfF** *τ. δ. ὥ. ἀποσειόμενος* **dK** || 14 *οἴμοι*] *ὅμως* **aVfC** | *βεβουκόλημαι*] *βεβούλημαι* **aVC** | *ὁ δείλαιος* ante *βεβουκόλημαι* transp. Nissen | *ἔσχον*] *ἔχων* **VC** || 15 *ἀνόνητος* **SY** | *παρὰ* om. **aSf** | *πᾶσιν* om. **S**
63 [**a = P b = A + η = ERML^{a}DNG^{a} c = VS d = H e = U CF**] 1 *χρυσηῒς* **b** (non **N**) fortasse *Χρυσὶς* scribendum: cf. Aristaen. Ep. II 15 in titulo | inscr. om. **N** || 2 *διδοτῆς* **b** | post *ἐρωτικὰς* add. *γὰρ* **d** || 3 *αὐτὴν* **e** *αὐτὸν* **F** | post *θεώμενος* add. *καὶ* **a** || 4 *ἐρώντων* **d** | *εἰ* om. **b** | *τῆς ἀλγηδόνος* **A** || 5 *φιλοσόφως* **b**
64 [**a = P b = A + η = ERML^{a}DG^{a} c = VS d = H e = Y f = TQ C**] 2 *καὶ* om. **b** | *ἀπαραιτήτοις* **b** | *τοῖς* om. **b** | *ὡς* **Sdef** *τῆς* **abC** Her. Boiss. *καὶ* **V** | post *σωφροσύνης* add. *δὲ* **b** Boiss. || 3 *οἱ παῖδες* om. **QC** || 4 *χαλινοῦσι* **cdef** *χαλινοῦμεν* **a** Her. Boiss. *χαλινῶμεν* **b** *χαλινοῖμεν* **C** || 5 *ἄγαμαι ἀναίδειαν* transp. **aVC** | *οὐ* **bcQC** *οὔτε* **deT** Her. *καὶ* **a**

γὰρ κολάσεις δικαστηρίων σοι φοβεραί, οὔτε λόγος εἰσηγητικός ἐστιν αἰδέσιμος. τῶν παίδων ἀφρονεστέραν ἐν γήρᾳ τὴν διάνοιαν ἔχεις. ἴθι τοίνυν, εἰ βούλοιο, πρὸς βάραθρον. ὃν γὰρ λόγος καὶ μάστιγες σωφρονεῖν οὐ διδάσκουσι, τοῦτον πείθειν κακίας ἀπέχεσθαι λίαν ἐργῶδες καὶ τοῦ καθαίρειν τὴν Αὐγείου κόπρον ἐστὶ δυσχερέστερον ἢ κοτύλῃ τὸ Ἀτλαντικὸν ἅπαν ἐκροφῆσαι πέλαγος.

65. *Βουβαλίων Κισσυβίῳ*

Ὁ Γοργίου παῖς ἡμᾶς ἀδικεῖ. ξυνωρικεύεται γὰρ ἱππαζόμενος ὁ παμμίαρος, καὶ προσχήματι θήρας περιπέττει τὴν πανουργίαν ὁ κάκιστος. οὔτε γὰρ λαγὼς φοιτᾷ παρ' ἡμῖν οὔτε δορκὰς ἐνδημεῖ, οὐ βουβαλίδες, οὐκ ἔλαφοι, οὐκ ἄλλο τι τῶν πρὸς θήραν ἐπιτηδείων ὄντων. αἱ μὲν γὰρ εἱρκταὶ καὶ πάγαι τοὺς λαγὼς ἀπελαύνουσι, δι' ὧν καὶ ἁλίσκονται τῶν σταφυλῶν ἐπιβαίνοντες, δορκάδος δὲ σπάνις καὶ βουβαλίδος οἱ γείτονες λέοντες. καὶ τί δῆτά σοι τὰ μυρία τῶν θηρίων ἀπαριθμήσομαι γένη, οἷς καὶ ἡμεῖς συλλιμώττομεν; ἀνυδρία γὰρ ἡμᾶς, ἀθηρία δὲ τοὺς θῆρας κολάζεται. ἐπειδὴ οὖν ἀγχιστεία σοι πρὸς τὸν ἀδικοῦντα, Κισσύβιε, εἰσηγοῦ τὸ συμφέρον, καὶ σωφρονέστερον τοῦτον οἱ νῦν σοι διδασκέτωσαν λόγοι. ἴσθι γὰρ αὐτὸν κυσὶ σπαραττόμενον, εἰ ἐν τοῖς ἐμοῖς ἀγροῖς τὸ λοιπὸν ἐνδημήσειεν· ἤδη γὰρ καὶ ἡ θήλεια κύων σὺν τοῖς τέκνοις περιφρουρεῖ μοι τὸ γήδιον ἀνθρωπίνης ὀργῶσα πιμελῆς ἐφάπτεσθαι.

64 7–8 cf. Aristoph. Nub. 1449; Plut. 431; Herod. VII 133; Plat. Gorg. 516 D; Heliodor. I 13, 4 et I 14, 1 || 10 cf. Luc. Alex. 1 || 10–11 cf. Quaest. phys. 16, 17 || **65** 2 cf. Hist. VIII 8, 3; Aristoph. Nub. 15 || 3 cf. Hist. II 9, 13; Aristoph. Plut. 159 || 4 cf. Callim. Epigr. 31, 1–2 || 13–14 cf. Theophr. Char. IV 12

64 7 *ἐν γήρᾳ* om. **VQC** || 8 *εἰ βούλοιο* **abc** *εἰ βούλει* **def** Her. om. **C** || 9 *κακίαν ἀνέχεσθαι* **η** || 10 *αὐγέου* **V** Her. *αὐαγείου* **A** | post *ἢ* add. *καὶ* **d** || 11 *ἐκμετρῆσαι* **a** Her. *ἐκμετρήσασθαι* Nissen

65 [**a** = **P** **b** = **A** + **η** = **ERML[a]D** **c** = **VS** **d** = **H C**] 1 *Κισσυβίωνι* **b** Her. || 3 *θηρῶν* **VC** | *κακουργίαν* **aS** Boiss. || 4 *λαγωὸς* **VC** | *οὐ*] *οὔτε* **b** Boiss. || 5 *ὄντων* delere mavult Nissen | *μὲν* om. **a** || 6 *λαγὼς* **aS[pc]d** *λαγοὺς* **S[ac]** *λαγωοὺς* **bVC** Boiss. || 6–7 *τῶν – ἐπιβαίνοντες* om. **η** || 7 *βαίνοντες* **d** | *δορκάδας* **η** Her. Boiss. | *σπάνις*] *πᾶν* **A** om. **η** Her. Boiss. | *καὶ*] *ἢ καὶ* **b** Boiss. | *βουβαλίδας* **η** Her. Boiss. || 8 *τί* om. **d** | *θηρίων*] *μυρίων* **d** | *ἀπαριθμήσαιμι* **b** *ἀπαριθμοῦμαι* **S** Her. || 9 *ἀνυδρία*] *ἀνανδρία* **b** Her. Boiss. || 10 *ἐπειδὴ*] *ἐπεὶ* **a** | *Κισσυβίων* Her. || 11 *τούτων* **b** | *νῦν* om. **η** Her. | *σοι* **VdC** *σοὶ* Her. *σου* **a** Boiss. *σε* **AS** *σοί σε* **η** || 12 *σπαραξόμενον* **η** Her. Boiss. || 13 *ἐνδημήσειας* **a** *ἐνδημήσει* Her. | *καὶ* om. **VC** | *ἡ* om. **a** || 14 *μοι*] *μου* **bS** | *πιμελῆς ὀργῶσα* transp. Nissen | *ἐφάψασθαι* **b** Her. Boiss.

66. *Πειθὼ Ἱππολύτῳ*

Εὐπρέπειαν, οὐκ ἦθος σεμνὸν οἱ ποθοῦντες μᾶλλον ἀσπάζονται. οὐ γὰρ σωφροσύνην Ἔρωτες ἐπαγγέλλονται, ἀλλὰ κάλλει σώματος ὀφθαλμὸν ἀκόλαστον δελεάζουσιν. εἰ τοίνυν διὰ τοὺς τρόπους τῆς Ῥοδοκλείας ἐρᾷς, τῶν σῶν ἡδονῶν οὐ βασιλεύουσιν Ἔρωτες· φιλοσοφοῦντος γὰρ λογισμοῦ βέλος ἀφροδίσιον οὐχ ἅπτεται.

67. *Ἐρατοσθένης Αἰσχίνῃ*

Ἐσθίεις τοὺς ὅρκους ὡς λάχανα, καὶ κτύπος ὀδόντων εἶναί σοι δοκεῖ τὸ πραττόμενον, καὶ τοῖς ἐγκαλοῦσιν ἀντιφθέγγῃ, παμπόνηρε·

'ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος',

οὐκ εἰδὼς ἀχαλίνωτον γλῶτταν μείζονα τοῦ πλημμελήματος εἰσπραττομένην τὴν κόλασιν. ἃ γὰρ ἂν λόγοις ἁμάρτωμεν, ἔργοις τὴν τιμωρίαν ὑφέξομεν. τὴν γλῶτταν δῆτα σώφρονα κέκτησο, ὀμνύειν καὶ τὰ πρὸς ἀλήθειαν εὐλαβούμενος· ἀβαρὲς γάρ τι χρῆμα ὁ ὅρκος εἶναι δοκεῖ, καὶ παντὸς ἄχθους ἐστὶ δυσφορώτερον. ἐντεῦθεν καὶ Τάνταλος ἐκολάζετο· περὶ τὰ θεῖα γὰρ ἔσχε τὴν γλῶτταν ἀκόλαστον.

68. *Σευτλίων Κοριάννῳ*

Εἷλον ὀψέ ποτε τὴν κακίστην ἀλώπεκα, καὶ λαβὼν ποικίλοις δεσμοῖς περιφρουρῶ τὴν παμμίαρον. καὶ ἄξω ἐπὶ τὴν λεωφόρον, Κορίαννε, τοὺς

66 5–6 cf. Anth. Pal. V 267, 9–10; XII 117, 3 || **67** 4 Eur. Hippol. 612 || 5 cf. Aristoph. Ran. 838; Eur. Bacch. 386; Plat. Leg. 701 C; Nilus Anc. Ep. III 229 (PG 79, 490 C) || 8–9 cf. Com. Adesp. fr. 158 Kock; Trag. Adesp. fr. 567 Nauck || 9 cf. Quaest. phys. 30, 10 || 10 cf. Eur. Orest. 10 || **68** 2–3 cf. Alciphr. Ep. II 19, 1

66 [**a** = **PW b** = **A** + *η* = **ERML^{a}DNG^a c** = **VS C**] 1 inscr. om. **WN** || 2 *μᾶλλον* om. **C** || 3 *σωφροσύνην*] *σωφρονεῖν* **b** Boiss. | *οἱ Ἔρωτες* **bS** Her. Boiss. || 5 *οὐ*] *οἱ* **A** | *βασιλεύσουσιν* **a** || 6 *ἐφάπτεται* **C** *καθάπτεται* **S** Her.
67 [**a** = **PW b** = **A** + *η* = **ERML^{a}DG^a c** = **VS d** = **H e** = **UY f** = **OT C**] 1 post inscr. add. *πρὸς πολύορκον* **O** || 3 *πραττόμενον*] *τελούμενον* **b** | *παμπόνηρα* **de** || 4 *γλῶττ' ὀμώμοχ'* **SdY** *γλῶττα ὀμώμοκεν* **abVUfC** | post *ἀνώμοτος* add. *ἔμεινεν* **U** || 6 *ἃ*] *ὧν* **de** Her. Boiss. | *ἂν* om. **bd**, post *ἁμάρτωμεν* transp. **U** Boiss. | *ἁμαρτάνομεν* **b** *ἁμάρτοιμεν* **c** || 7 *τὰ* om. **b** || 8 *γάρ τι*] *τι γὰρ* **b** Boiss. om. **Y** | *ὁ* om. **d** || 9 *δυσφορώτατον* **SU**
68 [**a** = **P b** = **A** + *η* = **ERML^{a}DG^a c** = **VS e** = **U C**] 1 *σευτλιῶν* **b** *Σεύτλων* Her. | *Κοριάννωνι* Her. || 3 *ἐπὶ* om. **a** | *τὴν*^{2} om. **e** | *Κοριάννων* Her. | post *Κορίαννε* add. *καὶ* **e** Her. Boiss.

ἀγροίκους συγκαλεσάμενος ἅπαντας, καὶ τὴν πολέμιον θριαμβεύσω· καὶ δημοσίᾳ δίκας παρέξεται, ἀντὶ πολλῶν ἀδικημάτων μίαν ὑφέξουσα κόλασιν.

69. Καλλιόπη Λαΐδι

Κρωβύλῳ καὶ τέττιγι ὁ Γοργίας σεμνύνεται μήπω τοῖς ἰούλοις κατασκιάσας τὸ πρόσωπον, καὶ βρενθύεται τῷ κάλλει, καὶ δέλεαρ ἀνοίας προτίθησιν ἡμῖν τὴν εὐπρέπειαν. ἐγὼ δὲ γῆρας καὶ νόσον καὶ λύπην πίναξιν ἐγχαράξομαι, καὶ πρὸ τῶν θυρῶν ἀναθήσαιμι τοῦ ἀγνώμονος· ταῦτα γὰρ ἕξει ποτὲ τῆς εὐπρεπείας ἀντίπαλα.

70. Πλάτων Ἀξιόχῳ

Ἡνίαις καὶ μάστιξι τοὺς ἵππους ἰθύνομεν, καὶ ναυτιλλόμεθα πῇ μὲν τοῖς ἱστίοις τὴν ναῦν ἐκπετάσαντες, πῇ δὲ ταῖς ἀγκύραις χαλινώσαντες καθορμίζομεν. οὕτω κυβερνητέον καὶ τὴν γλῶτταν, Ἀξίοχε, πῇ μὲν τοῖς λόγοις ὁπλίζοντες, πῇ δὲ σιωπῇ κατευνάζοντες.

71. Ῥόδων Κυπαρίσσωνι

Τοὺς Λευκανοὺς ἐπιέναι πάλιν φασί, καὶ τὸ δρέπανον ἀπορρίψας λόγχην καὶ σαυρωτῆρα χαλκεύσομαι, καὶ τὴν ἐνυάλιον τέχνην ἀσκήσαιμι. οὐκ ἐᾷ γὰρ ἠρεμεῖν ὁ δαίμων ἡμᾶς. ἐμοὶ τοῦ χειμῶνος τὸ θέρος ἐστὶ κρυωδέστερον· τί γὰρ τοῦ πολέμου γένοιτ' ἂν φρικωδέστερον; ἦρος

69 2 cf. Hist. dial. 10; Thuc. I 6, 3 || **70** 2 cf. Hom. Il. XI 528

68 4 *συγκαλεσάμενος τοὺς ἀγροίκους* transp. **a** | *καί*[1] om. **e** Her. Boiss. | *πολεμίαν* **b** || 5 *δημοσίας* **e**

69 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DNG^{a}** **c** = **VS** **f** = **Z** **C**] 1 *λαΐδη* **aC** *παίδη* **f** | inscr. om. **N** || 2 *κρωβύλῳ καὶ τέττιγι*] *ὥρᾳ κάλλους* **f** || 3 *βρενθύει* **f** | *τῷ κάλλει βρενθύεται* transp. Nissen | *ἀνοίας* *η***f** *ἀνίας* **aAVC** *ὁ νεανίας* **S** || 4 *προστίθησιν* **a** *η* | ante *γῆρας* add. *καὶ* **fC** Her. || 5 *ἐγχαράξαιμι* **f** Her. | *ἀναθήσομαι* *η* Boiss. *ἀναθήσοιμι* **S** *ἀναθήκαιμι* Her. || 6 *ἀπρεπείας* **b** | *τὰ ἀντίπαλα* **ab** Boiss.

70 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DG^{a}** **c** = **VS** **d** = **H** **f** = **OTQ** **C**] 1 post inscr. add. *πρὸς λάλον* **O** || 2 *μάστιγι* **b** || 2–3 *πῇ . . . πῇ*] *ποῖ . . . ποῖ* **d** || 3 *ἐκπετάσαντες*] *καθοπλίσαντες* **d** | post *ἀγκύραις* add. *ταύτην* **S** Her. || 4 *καθορμίζομεν*] *καθυβρίζομεν* **b** | *καὶ* om. **b** || 4–5 *πῇ . . . πῇ*] *ποῖ . . . ποῖ* **d** || 5 *ὁπλίζοντας* **d** | *τῇ σιωπῇ* **c** Her. Boiss. | *κατευνάζοντας* **d**

71 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}D** **c** = **VS** **e** = **U** **C**] 1 *κυπαρίσσῳ* *η* || 2 *λευκάνους* **eC** *λευκαμοὺς* **V** || 3 *σαυρωτῆρα* **aeC** *σαυροτῆραν* **V** *σαβρωτῆρα* **S** *σαρωτῆρα* *η* *σαροτῆρα* **A** | *ἀσκήσομαι* **a** Boiss.

φανέντος ἐδάκρυσα. ὡς κομᾷ τοῖς ἄνθεσιν ὁ ἀγρός, ὡς εὐῶδες ἐν ταῖς μυρρίναις τὸ γήδιον, ὡς κοσμία κομῶσα ἡ πλάτανος. χλοάζει τὸ λήιον, ἅπαντά μοι πρὸς εὐετηρίαν ἐπείγεται. ἀλλ' ἀδικοῦσιν ἡμᾶς οἱ πολέμιοι· ἀρότρου γὰρ αὐτοῖς ἡ μάχαιρα ποθεινότερον.

72. *Σωσίπατρος Τελεσίλλῃ*

Εἰ μὴ ταῖς ἀφροδισίοις ἡδοναῖς τὸν ἀτερπῆ κόρον ἡ φύσις ἐνέμιξεν, ἐδουλαγωγεῖτο τὸ ἄρρεν τῷ γυναικείῳ φύλῳ, Τελέσιλλα. μὴ τοίνυν μέγα φρόνει, πορνίδιον. ὁ τῆς Ἀφροδίτης μοι πυρσὸς ἀπηθάλωται· οὐ γὰρ ἀθανάτους ἀλγηδόνας τὰ τῶν Ἐρώτων βέλη παρέχονται.

73. *Πρόκλος Ἀρχιμήδει*

Τοὺς πολύποδάς φασιν ἀθηρίας τυγχάνοντας τοὺς ἑαυτῶν κατεσθίειν πλοκάμους, ὄψον ὥσπερ ἀληθῶς ἐμπαράσκευον τὰ ἑαυτῶν ποιουμένους δυστυχέστατα μέλη. ἑστιῶνται γοῦν οἱ τάλανες τῶν ἑαυτῶν μορίων τὰ καίρια, καὶ δαιτυμόνες τῶν ἰδίων σαρκῶν ἀναδείκνυνται. ἆρά γε, Ἀρχίμηδες, οὐ πολύπους τὴν γνώμην εἶναι τοῖς ὅλοις δοκεῖς; ἐγὼ μὲν οἶμαι τοῦτο σαφέστατα· ἀδικεῖς γὰρ λίαν ἀπανθρωπότατα τὸν σὸν πατέρα, μήτε τὴν φύσιν αἰδούμενος, μήτε τὴν δίκην ὡς βάραθρον εὐλαβούμενος. ἀλλ' εἰ μὲν μεταγνοίης, ἀμνήμονα τῶν παρῳχηκότων κακῶν ἕξεις τὴν πρόνοιαν· εἰ δὲ τὴν φιλόχρυσον Ἐριννὺν ἀμετακίνητον πάθος κεκλήρωσαι, τὴν

72 2–3 cf. Anth. Pal. V 77 ‖ **73** 2–5 cf. Aelian. Nat. anim. I 27; Hes. Op. 524

71 7 *μυρίναις* **eeC** | *κομῶσα*] *κοσμῶσα* **AV** | ante *χλοάζει* add. *ὡς* **e** Her. Boiss. ‖ 8 *εὐετηρίαν*] *αἰνετηρίαν* **e** ‖ 9 *ποθεινότερον* **Ve** *ποθεινοτέρα* **abSC**
72 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DNG^{a}** **c** = **VS** **C**] 1 *σώπατρος* **b** (non **N**) **S** | inscr. om. **N** ‖ 2 *ἀφροδισίαις* ***η*S** ‖ 3 *τελεσίλλα* **aC** ‖ 5 *τὰς ἀλγηδόνας* **b** Her. Boiss. | *παρέχεται* **b** Her. Boiss.
73 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DG^{a}** **c** = **VS** **d** = **H** **e** = **YK** **f** = **ZOTQ** **C**] 1 *Πρόκλος*] *πάτροκλος* **O** om. **Z** | *Ἀρχιμήδει*] *ξανθίππῳ* **Z** | inscr. om. **Q** | post inscr. add. *πρὸς γονεῖς ἀδίκους* **O** ‖ 2 *φησιν* **SO** | *ἐσθίειν* **S** ‖ 2,3 *πλοκάμους κατεσθίειν* transp. **aVC** ‖ 3 *ὥσπερ ὄψον* transp. **Z** Her. ‖ 3–4 post *ἐμπαράσκευον* usque ad]*ται γοῦν* verba aliquot legi nequeunt in **V** | *ποιουμένους — μέλη* **K** *δυστυχήματα* **aTQC** *δυστυχῆ ποιουμένους μέλη* **S** *ἔχοντες μέλη* **Z** Her. *δυστυχέστατα μέλη* **bdY** Boiss. *δυστυχῆ μέλη* **O** ‖ 4 *ἐσθίουσι* **d** | *γοῦν*] *γὰρ* **de** ‖ 5 *ἰδίων*] *οἰκείων* **a** Her. | *ἀρχίμηδες* **adeOT** *ξάνθιππε* **bcZQC** ‖ 6 *τ. γ. εἶ. τ. ὅ. δ.* **bSdOC** *τ. γ. τ. ὅ. εἶ. δ.* **ae** *τ. γ. τ. λόγοις εἶ. δ.* **V** *τ. γ. εἶ. δ. τ. ὅ.* **T** *τ. γ. εἶ. δ.* **Q** *τ. ὅ. εἶ. τ. γ. δ.* **Z** Her. ‖ 7 *σαφέστατον* **bcC** Her. | *λίαν* om. Her. | *ἀπανθρωπότατον* **bC** *ἀπανθρωπότατε* **a** Boiss. | *τὸν — πατέρα*] *σὸν πατέρα* **b** *τὸν πατέρα* Nissen *πατέρα τὸν σὸν* **Z** ‖ 9 *κακῶν* om. **de** Her. ‖ 10 *ἐρινὺν* **Se** Her.

ἰσόρροπον πλάστιγγα τὸ θεῖόν σοι ταλαντεύεται, καὶ παῖδας ἕξεις πατρικῆς κακίας εἰκόνας ἀληθεῖς καὶ ἰνδάλματα. οὕτω γὰρ καὶ τὰ τῆς ἐχίδνης κυήματα μητρικὴν ἀνοσιότητα διαδέχεται, τὴν κυοφόρον καὶ τιθηνὸν γαστέρα ῥηγνύοντα.

74. Ἐλάφων Δόρκωνι

Γόνιμος πρὸς εὐκαρπίαν τῇ γῇ ὁ τῶν θρεμμάτων ὄνθος καθέστηκεν. οὐκοῦν δίδου μοι τῶν σῶν θρεμμάτων τὴν κόπρον, καὶ λήψῃ καὐτὸς μισθοὺς εὐετηρίας ἀχράδας καὶ λάχανα, καὶ τὸ σὸν φιλότιμον λαμπροτέραις ἀμείψομαι χάρισιν.

75. Ἀριστόξενος Πολυξένῃ

Ἑταιρικῶν ἡδονῶν οὐδὲν ἀσθενέστερον. ἄπιστα τὰ τῶν σῶν χειλέων φιλήματα· ἀφύτευτος γὰρ πόθος θᾶττον μαραίνεται. ἐγὼ τὴν σωφροσύνην λοιπὸν ἀνήδονον οὖσαν παρὰ τοῖς πολλοῖς μᾶλλον προσδέξομαι — τὸ γὰρ σταθερὸν ἐπαγγέλλεται — καὶ προικίων τὸν γάμον ὠνήσομαι· πρίασθαι γὰρ πίστιν ἑταιρικὴν χαλεπώτατον.

76. Διογένης Σωτίωνι

Τὸ μικρὸν τοῦτο δοξάριον ὕπαρ ἐνύπνιον τοῖς εὖ φρονοῦσιν εἶναι δοκεῖ, καὶ τῶν πεπλασμένων μύθων τερατωδέστερόν ἐστι καὶ φαυλότερον, ἄστατον, κουφοποιόν, παίγνιον ἤχων καὶ πνευμάτων φαντασιωδέστερον. τοῦτο καὶ μὴ παρὸν ἀνιᾷ, καὶ προσγενόμενον πλέον ἐλύπησε· μετ᾽ οὐ πολὺ γὰρ τοὺς ἐραστὰς ἠγνωμόνησε καὶ πρὶν γενέσθαι πρὸς τὸ μὴ εἶναι

73 11 cf. Hist. II 16, 5 || 12–14 cf. Aelian. Nat. anim. I 24; M. Philes De propr. anim. 1507–1508; Basil. Magn. Homil. in Hexaem. IX 5 (PG 29, 200 A) || **75** 2–3 cf. Aristaen. Ep. II 7 (p. 78, 23–24 Mazal)

73 11 *σοι* om. **aC** | *ταλαντεύσεται* **ZOQC** Her. || 14 *τιθηνὸν* **edeOT** *τιθηνὴν* **ab ZQC** Boiss. | *διαρρηγνύοντα* *η* Boiss.
74 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DG^{a}** **c** = **VS C**] 2 *τῇ γῇ* om. **b** || 3 *τὴν*] *τὸν* **a**
75 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DNG^{a}** **c** = **VS CF**] 1 inscr. om. **N** || 5 *σταθερὸν* *η* *σταθηρὸν* **aAcCF** | *προικίων* **a** *προικείων* **b** *προικὶ* **cF** *προικίῳ* **C** | *ὀνήσομαι* *η*
76 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DG^{a}** **c** = **VS** + **S^{a}** (cf. Praef. p. IX) **d** = **H** **e** = **Y** **f** = **ZT CF**] 2 *ὕπαρ ἐνύπνιον*] *ὄψις ἐνυπνίων* **d** *ὄναρ οὐχ ὕπαρ* **e** | *εἶναι* post *ἐνύπνιον* transp. **bVefC** Her., om. **SF** || 3 *ἐστι*] *τε* **S^{a}Z** || 4 *κουφοποιόν*] *κουφόνουν* Her.

μετέδραμε. μή σε καταπληττέτω τὰ τῆς τύχης φυσήματα· διαπαίζει γὰρ τοὺς ἀνθρώπους ὥσπερ καὶ βούλεται· εἴδωλα γὰρ εἰδώλων τὰ τῶν ἀνθρώπων τετύχηκε πράγματα.

77. *Βουκολίων Μυρωνίδῃ*

Ὁ σὸς ἔκγονος ὑπερμαζᾷ, Μυρωνίδη. ἐρυθρῷ ῥάκει τὰ βουκόλια διετάραξε καὶ τὴν δάμαλιν τὴν ποθεινὴν κατεκρήμνισεν· οἱ δὲ ἡλικιῶται τὴν συμφορὰν ἐπεποίηντο παίγνιον. μὴ πάρεχε δυοῖν χοινίκοιν τῷ παιδὶ περαιτέρω· οἱ γὰρ νέοι καὶ σφριγῶντες ἀκόλαστοι καὶ τρυφῶντές εἰσιν ἀκρατέστεροι.

78. *Περικλῆς Καλλιόπῃ*

Παρθενικῶν ἡδονῶν ἐπιτεύξασθαι ἄγαν ἐστὶ δυσχερές· ἐγὼ δὲ ῥάθυμος τὴν ψυχήν. καὶ τί δράσαιμι ἄν; ἀσύμβατος γὰρ ὁ Ἔρως ἐπιπέμπων τὸ βέλος. αὐτή μοι δίκαζε καὶ τῷ Ἔρωτι, καὶ δίδου μοι ψῆφον φιλάνθρωπον· βασκαίνουσι γὰρ οἱ Ἔρωτες, τὸ μὲν ποθεῖν παρεχόμενοι, τὸ δὲ τυχεῖν ἀφαιρούμενοι.

79. *Ἰσοκράτης Διονυσίῳ*

Προπομποὶ καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνων ὑψηλοτάτων ἐπίτευξις φιλοσοφίας ἐστὶν ἀχλύς, καὶ διαιρετικώτατος πέφυκε τῶν ἀρετῶν χωρισμός. οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν. ἔτι τὸν θύλακον ἔχεις δερμάτινον· θνητὴν γὰρ ἔχεις ἐκ προοιμίου τὴν σύστασιν. τί δῆτα τὸ κενὸν τοῦτο καὶ κοῦφον δοξάριον ἐπὶ τοσοῦτον τὸν πήλινον ἀσκὸν

76 7–8 cf. Plat. Leg. 803 C || 8 cf. Pind. Pyth. VIII 136; Soph. Ai. 125 – 126; Aeneas Gaz. Ep. 12; Porphyr. Vita Plot. 1 || **77** 4–5 cf. Men. Heros 16–17 || **79** 5 cf. Georgides Mon. Gnomologium 43 (PG 117, 1101 A)

76 7 *παρέδραμε* **V** || 9 *τετύχηκε*] *τυγχάνουσι* **F** *καθέστηκε* **d**
77 [**a** = **P b** = **A** + *η* = **ERML^{a}D c** = **VS e** = **U CF**] 2 *ἔκγονος* **VeF** *ἔγγονος* **abSC** || 3 *δαμάλην* *η* || 4 *πεποίηντο* **CF** *πεποίηνται* Her. | *πάρεχε* **ceF** *παρέχου* **abC** Her. Boiss. (cf. Men. Heros 16–17) | *χοινίκων* **a** || 5 *περαιτέρω*] *παρ' αἰτέρω* **A**
78 [**a** = **PW b** = **A** + *η* = **ERML^{a}DNG^{a} c** = **VS e** = **U CF**] 1 inscr. om. **WN** || 2 *ἄγαν*] *λίαν* **F** | post *δυσχερές* add. *καὶ λίαν* **abC** || 4 *φιλανθρωπίας* **b** || 5 *ποθεῖν*] *παθεῖν* **e**
79 [**a** = **P b** = **A** + *η* = **ERML^{a}DG^{a} c** = **VS d** = **H e** = **YK f** = **T CF**] inscr. tantum, non textum exhibet **Q** || 3 *ἐπιτεύξεις* **aVCF** | *ἐστὶν*] *εἰσὶν* *η* om. **Y** || 5 *θνητῶν* **aV** Boiss. *θνητὸν* **A** | *προοιμίων* **aS** Boiss. || 6 *καὶ* om. **b** | *κοῦφον* om. *η*

διεφύσησε; μεγάλης ἀνοίας ἐνεφορήθης, ὦ δύστηνε, καὶ τῆς φύσεως τὴν γνῶσιν ἀφῄρησαι. οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας ἠνάγκασαν, καὶ τῆς σώφρονος ἐκείνης μανίας ἀπαναχωρεῖν παρεσκεύασαν. ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον· νῦν δὲ καὶ χθαμαλὸν καὶ περίγειον ὁ τῆς τύχης ὅρος ἀκρότατος. οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο, καὶ τὴν δραπέτιν τύχην δραπέτευε· προφθάνων γὰρ τὴν ἀγνώμονα ἄφνω τὴν μεταβολὴν οὐ δυσφορήσεις προσπίπτουσαν.

80. *Κορύδων Ἀμπέλωνι*

Οὐκ ἔστι τι γεωργῶν ἀθλιώτερον. τυραννούμεθα καὶ τοῖς ἀνέμοις οἱ τάλανες· ἀπόλλυσιν ὁ νότος ἡμᾶς, τοὺς ἀστάχυας ἐξιτήλους μοι ἀπειργάσατο, τὴν ἄμπελον ἐλυμήνατο καὶ τὰς ῥᾶγας διέφθειρε. καὶ πρὸς δικαστήριον ἕλκειν οὐχ οἷός τέ εἰμι τὸν λυπήσαντα. διὸ καὶ τὸ δρέπανον καὶ τὴν ἄμην ἀπώσομαι, ἀσπίδα καὶ κράνος καὶ ξίφος ἀράμενος, καὶ στρατιώτης γενήσομαι καὶ τὴν τέχνην ἀμείψας τὴν τύχην σοφίσομαι.

81. *Λέανδρος Καλλικόμῳ*

Εἰ μέν τι τοῖς ἀνθρώποις χρυσοῦ τιμιώτερον, δίδασκε, καὶ μείζοσι δώροις ἀμείψομαι τὴν ἀπόλαυσιν· εἰ δὲ μή, δίδου μοι θᾶττον τὰς χάριτας. οὐ γὰρ Δανάης ἔχεις τὸ κάλλος σεμνότερον, οὔτε Διὸς ἐγὼ πλουσιώτερος χρυσῷ τὴν παρθενίαν ὠνούμενος.

79 9 cf. Plat. Symp. 218 B || 11 cf. Hist. II 13, 3 || **80** 5–6 cf. Alciphr. Ep. II 13, 2 || 7 cf. Alciphr. Ep. II 10, 3 || **81** 2 cf. Lib. Ep. 678, 1 (X 692 Förster) || 4–5 cf. Anth. Pal. V 34; Philostr. Ep. 35 et 38

79 9 *ἠνάγκασε* **dKF** Her. | *ἀπαναχωρεῖν* **abSF** *ἐπαναχωρεῖν* **C** *ὑπαναχωρεῖν* **V** *ἀναχωρεῖν* **de** Her. *παραχωρεῖν* **f** || 10 *παρεσκεύασεν* **dKF** Her. | *καὶ* om. **VC**

80 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DG^a** **c** = **VS** **e** = **UY CF**] 1 *κορύδων* **U** *Κορυδὼν* **S** Her. *κρομύδων* **aAVCF** *κρομύλων* *η***Y** | *ἀμπέλωνι* *η***Y** *ἀμέλωνι* **F** *Ἀμπελῶνι* **aAcUC** Her. || 2 *τι* om. **SY** | post *τυραννούμεθα* add. *γὰρ* **VU** || 5 *τὸ* om. **e** || 6 *ἄμην* **ceCF** *ἄμμην* **b** *ἀκόνην* **a** | *ἀπώσομαι* **e** *ἀποίσομαι* **abcCF** | post *ἀσπίδα* add. *δὲ* **U** Her. Boiss. | *καὶ ξίφος καὶ κράνος* transp. **S** Her. | *καὶ*^{3} om. **e** Her. Boiss.

81 [**a** = **P** **b** = **A** + *η* = **ERML^{a}DNG^a** **c** = **VS** **e** = **U** **f** = **Z CF**] 1 *μέανδρος* **f** | an *Καλλικόμῃ* scribendum? | inscr. om. **N** || 3 *τὰς χάριτας θᾶττον* transp. **f** Her. || 4 post *κάλλος* add. *οὔτε* **A**, *οὔτε σὺ* *η* Her. || 5 *χρυσοῦ* Her. | *παρθένον* **f** Her. | *ὠνουμένου* Jacobs

82. Σωκράτης Ἀλκιβιάδῃ

Καὶ τὰ τῆς ποιήσεως παίγνια πάσης ἔμπλεα σοφίας καθέστηκε. κηρῷ τοὺς Ὀδυσσέως ἑταίρους διαβῦσαι τὰ ὦτά φησιν ὁ τοῦ Μέλητος, ὅτε ταῖς ὁλκάσι πρὸς τὰς ἀκολάστους Σειρῆνας ἀνήγοντο, τὸν δὲ Λαέρτου δεσμοῖς ἀπείργεσθαι ὡς ἐν εἱρκτῇ δυσφύκτῳ τινί. μυθολογεῖ τὰ τῆς φιλοσοφίας ἀπόρρητα. Σειρῆνας γὰρ δοκῶ τὰς ἀσχήμονας ἡδονὰς τὴν ποίησιν ἀναπλάττεσθαι. καὶ θαυμάζω λίαν τὸν Ὅμηρον συγκιρνῶντα τοῖς πλάσμασι τὴν ἀλήθειαν καὶ κυκεῶνα νέκταρος προσηνέστερον ταῖς ἀκοαῖς ἡμῶν ἀναμίξαντα, οἷάπερ ὕδωρ τὸ ψεῦδος οἴνῳ τονικωτάτῳ τινὶ τῇ ἀληθείᾳ κεράσαντα. οὕτω γὰρ οὔτε τοῖς πλάσμασιν ἀπατώμεθα, οὔτε τῇ δυσεφίκτῳ τῶν ὄντων καταλήψει τὸν νοῦν μεθυσκόμεθα. διὸ κηρῷ μὲν τὴν ἀπειρίαν, δεσμῷ δὲ τὴν φιλοσοφίαν ἐδήλωσεν. ἐντεῦθεν Ὀδυσσέα μόνον τῶν ὑπερκυκνείων μελῶν ἀκούοντα τερατεύεται καὶ τοῖς δεσμοῖς τὴν ἔφεσιν διακόπτεσθαι. ἡ μὲν γὰρ τῶν κακῶν ἀφαίρεσις ἀφιλόσοφος ἀρετή, ἡ δὲ τῶν ἡδονῶν ἀναχώρησις φιλοσοφίας ἐναγώνιον τρόπαιον. ἐπειδὴ τοίνυν, Ἀλκιβιάδη, τῆς Ὀδυσσέως πλάνης ὁ παρὼν βίος εἰκόνισμα, καὶ τῇ θαλάττῃ τῶν θορύβων ὁ δείλαιος ἄνθρωπος περινήχεται, καὶ Σειρηνείων ἡμῖν ἡδονῶν περιπολοῦσιν ἠχήματα, καὶ πνευμάτων δίκην ποτὲ μὲν ἐνθένδε, ἄλλοθεν δέ ποτε περικροτοῦσιν ἐξαίσια, τὸν Πηνελόπης ὁμόζυγα μιμησώμεθα, ἄρρηκτόν τινα τῶν ἀρετῶν καὶ θεῖον δεσμὸν τὴν φιλοσοφίαν ἀσκήσαντες.

82 **2–5** cf. Hom. Od. XII 158–200 ‖ **3** cf. Hist. dial. 14 ‖ **10–11** cf. Hist. II 9, 5 ‖ **13** cf. Quaest. phys. 15, 2–3; Ep. 44, 4 ‖ **17** cf. Aesch. Sept. 758

82 [**a** = **P** **b** = **Λ** + *η* = **ERML**[a]**DG**[a] **c** = **VS** **d** = **H** **f** = **TCF**] **1** *Ἀλκιβιάδῃ*] *ἀντιμάχῳ* **a** | inscr. om. **f** ‖ **2** *ἔμπλεω* **aV** *σύμπλεα* *η* Boiss. ‖ **3** *διαβῦσαι*] *βεβῦσθαι* Her. ‖ **4** *ὁλκαῖς* **aAVC** | *ἐν δεσμοῖς* Her. ‖ **5** *ἀπειργάσασθαι* *η* Nissen *ἀπειργάσθαι* **Λ** *ἀπείρξασθαι* Boiss. *ἀπεῖρχθαι* Her. | *δυσφεύκτῳ* Her. | *μυθολογεῖται* *η***V** Her. Boiss. *μυθολογῶν* **d** ‖ **7** *συγκιρνῶντα* **dF** *συγκρίνοντα* **abcfC** Boiss. | *πλάσμασι*] *πράγμασι* *η***C** Boiss. ‖ **9** *τονικωτάτῳ*] *τῷ οἰνικωτάτῳ* **C** *ἡδυτάτῳ* **V** Her. om. **a** ‖ **13** *ὑπερκυκνίων* **bC** ‖ **14** *διακόπτεται* **c** *διακόπτοντα* **d** | *ἀφαίρεσις* **dC** *ἀπειρία* **aF** Her. *σαφήνεια* **bf** Boiss. *ἀφήρηται* **c** | *ἀφιλόσοφος* **dF** *ἡ φιλόσοφος* **bcfC** Boiss. *φιλόσοφος* **a** ‖ **16** *ἀλκιβιάδη* **dF** *ἀντίμαχε* **abcfC** Boiss. ‖ **18** *σειρηνείων* **ad** *σειρηναίων* **bfC** Boiss. *σειρηνίων* **F** *σειρήνων* **S** legi nequit hoc verbum in **V** | *ἡμᾶς* **bf** Her. Boiss. | *ἡδονῶν*] *μελῶν* **F** *ᾠδῶν* Her. ‖ **19** *ποτὲ δὲ ἄλλοθεν* transp. **F** Her. | *ἄλλοθεν*] *ἄλλοτε* **aS** *ἄλλοθέν ποθεν* Her. | *περικρατοῦσιν* **b** Boiss. ‖ **20** *ὁμόζυγα*] *ἱστὸν* **d**

83. Ἄνθινος Ἀμπελίνῳ

Ὁ τρυγητὸς ἤδη προκέκυφε, καὶ ὁ βότρυς γλεύκους πεπλήρωται καὶ ὀργᾷ τῇ ληνῷ διαχεῖσθαι. περιφρούρει γοῦν τὴν λεωφόρον κάλλιστα καὶ τὴν Κρῆσσαν κύνα συνέριθον κέκτησο. ὁδίτου γὰρ χεῖρες ἀκόλαστοι καὶ γεωργικοὺς ἱδρῶτας ἀδικεῖν ἑτοιμόταται.

84. Χρυσίππη Σωσιπάτρῳ

Ἐρωτικοῖς δικτύοις οὐχ ἑάλως, Σωσίπατρε, τῆς Ἀνθούσης ἐρῶν. φρονίμων ὀφθαλμῶν ἐστι τεκμήριον νεάνιδος ἐρᾶν εὐπρεποῦς. μὴ στέναζε κάλλει νικώμενος· μείζονα γὰρ τῶν πόνων τὴν ἀπόλαυσιν ἕξεις. ἐρωτικὸν δάκρυον προσηνές· ἡδονῇ γὰρ τὰ τῆς ἀνίας κεκέρασται, καὶ τέρπουσι λυποῦντες οἱ Ἔρωτες· ποικίλοις γὰρ πάθεσιν ὁ τῆς Ἀφροδίτης κεστὸς ἐγκεχάρακται.

85. Πλάτων Διονυσίῳ

Εἰ λύπης ἐθέλεις κρατεῖν, περιπόλει τοὺς τάφους, καὶ τοῦ πάθους ἕξεις τὸ φάρμακον, καὶ τὰς μεγίστας τῶν ἀνθρώπων εὐδαιμονίας ἐπόψει περαιτέρω κόνεως μὴ κεκτημένας τὸ φύσημα.

83 5 cf. Hist. II 2, 5 || **84** 2 cf. Dicaeogenes fr. 1 Nauck || 3 cf. Anth. Pal. V 89, 2 || 6–7 cf. Hom. Il. XIV 214–217

83 [**a** = **P** **b** = **A** + **η** = **ERML**[a]**DG**[a] **c** = **VS** **e** = **Y** **CF**] 1 *ἀμπελίωνι* **aA** || 2–3 *καί*² – *διαχεῖσθαι* om. **η** Her. Boiss. || 3 *γοῦν*] *οὖν* **VF** | *ὡς κάλλιστα* Nissen || 5 *ἑτοιμότατοι* **SeF**[pc]

84 [**a** = **P** **b** = **A** + **η** = **ERML**[a]**DNG**[a] **c** = **S** **e** = **U** **f** = **Z** **C**] 1 *χρύσιππος* **ce** | inscr. om. **Nf** || 4 *μείζω* **aC** | *τῶν* om. **e** | *πόνων*] *πόντων* **a** | *ἔχεις* **e** || 5 *ἀνοίας* **ηC**

85 [**a** = **P** **b** = **A** + **η** = **ERML**[a] **DG**[a] **c** = **VS** **d** = **H** **f** = **ZT** **C**] 1 *διονύσῳ* **A** || 4 ante *περαιτέρω* add. *οὐ* Boiss. | *μὴ* om. **b** Boiss. | *κεκτημένος* **A** *κεκτημένους* **ηC** | post *φύσημα* haec add. **d**: *οἷά τις ἄριστος ἰατρὸς τὸν κενὸν ὄγκον τῆς ἀνθρωπίας κατεγοήτευσας φύσεως*

INDEX NOMINVM

INDEX VERBORVM

INDEX AVCTORVM